λοπίζουσα διὰ γραμμάτων τὰς συκοφάντους καὶ κακομηχάνους βουλάς, καὶ πᾶσαν σκανδαλομήτην ὁρμὴν τῶν συγχεόντων τὸ τοῦ Χριστοῦ ποίμνιον. Οὐ γὰρ ὑπὲρ ἡμῶν ἀποκλαιόμεθα, μάρτυς ὁ Θεός· ἀλλ' ὅτι κατὰ τῆς Ἐκκλησίας τοῦ Θεοῦ ὡρκωμότησαν οἱ τάλανες, οὐδ' ἡμῶν αὐτῶν φειδόμενοι. Τούτους οὖν ἐπισημηνάτω ἡ θεία σου κεφαλὴ διὰ δριμυτέρων γραμμάτων, καὶ καταστορεσάτω τὸν σάλον τῆς Ἀλεξανδρέων Ἐκκλησίας. Ἡμῖν μὲν γὰρ ῥᾴδιον βουλομένοις τὰς πάντων διαδράσας διαβολὰς καὶ κακομηχανίας, ἀναχωροῦσι τῆς Ἐκκλησίας, καὶ τὰς ἐρήμους ἀσπαζομένοις, τὸ τῶν σπουδαίων καταθύμιον. Εἴθε δὲ νεύσειεν ἡ θεία σου κεφαλή· ἄλλως γὰρ οὐκ ἔνι μὴ λειποτακτοῦντας τὴν Ἐκκλησίαν καταλιπεῖν· ἀξύμφορον δὲ τῇ Ἐκκλησίᾳ, ἤδη κεκμηκυίᾳ καὶ ἐπιδεομένῃ ἀντιπελαργούντων.

Ἐρρώσθω ἡ θεία σου κεφαλὴ ἐν Κυρίῳ, δέσποτα καὶ πάτερ, ὀρθοδοξίας ἡ κορυφή.

Ἐλαφηβολιῶνος ἐσχάτῃ, σωτηρίῳ ἔτει αφπβ'.

Ὁ Μελέτιος.

Ε'.

(σ. 122)

Ἱερεμίᾳ τῷ παναγιωτάτῳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως καὶ οἰκουμενικῷ πατριάρχῃ, πατρὶ καὶ δεσπότῃ θειοτάτῳ πᾶσαν ἐν Κυρίῳ ὑπακοήν.

Μεγάλ' ἀνάγκαις πιεζόμενοι, οἵαις εἰκὸς περιπίπτειν τοὺς παῖδας τῶν πατέρων ἀπορφανισθέντας, προςτρέχομέν σοι, δέσποτα, τῷ κοινῷ πατρὶ καὶ δεσπότῃ, δίκαια καὶ ὅσια καὶ ῥᾷστα ζητοῦντες. Ἔστι δὲ τοῦτο, ἵνα ἡμῖν τὸν ἡμέτερον ἀρχιερέα ἀποδώσῃς, πρὸς σὲ διατρίβοντα. Εἰ γὰρ τῆς καθολικῆς Ἐκκλησίας χάριν ἀποδημεῖ, ἐχέτω τὸ κράτος ὁτιοῦν ὁ νόμος ὑπαγορεύει· εἰ δὲ τοῦ μικροῦ τοῦδε ποιμνίου ὑπερορῶν, ἢ πρὸς τὴν στενοχωρίαν τοῦ θρόνου καὶ τὰς τῶν ἐρίφων μοχθηρίας ἀπειπὼν ἀηδῶς ἔχει, μνησθῆναι χρὴ τοῦ Σωτῆρος ἡμῶν, ἀραμένου μὲν τὸν σταυρὸν, καὶ τοὺς οἰκείους ἐπὶ τούτῳ προςκαλουμένου (1). Ὀφείλομεν γὰρ ταῖς ἀλγηδόσι τῆς Ἐκκλησίας ἡδέως ἐμφι-

(1) Ματθ. ιϛ', 24.

λοχωρεῖν, μὴ ὥς τινες Κυρηναῖοι ἀγγαροφοροῦντες τὸν σταυρὸν τοῦ Κυρίου, ἀλλὰ καὶ τοὺς πρὸς ἄλλο τι ἐπτοημένους εἰδέναι δεῖ, ὡς πρὸς ἠρεμοῦντας καὶ φιλησύχους Θεὸς ἐπιβλέπει· οὕτω γὰρ γέγραπται (1). Ἄτοπον οὖν κομιδῇ *περισπᾶσθαι περὶ πολλὴν διακονίαν* (2), ὃ δὴ καὶ ὁ Σωτὴρ ἀπαγορεύει τοὺς ὀφείλοντας τροφαῖς ἐπαρκεῖσθαι καὶ σκεπάσμασιν (3). Ἀλλ' οὐδὲ τὰ ἀλλότρια περιεργάζεσθαι εὐαγές, οὓς χρεὼν τῶν ἰδίων προνοεῖν, μὴ καταλιπόντας ὥς τινες μισθωτοὶ τὸ ποίμνιον διασπᾶσθαι, φοβεῖσθαι δὲ τὸν λέγοντα (4): *Τὰ πρόβατά μου διεσπάρησαν διὰ τὸ μὴ ἔχειν ποιμένας*. Τίς οὖν τῶν σεμνυνομένων ἐπὶ τῇ ἐπιγνώσει τοῦ ἀληθινοῦ Θεοῦ, *τοῦ ἐκφέροντος*, ὡς γέγραπται (5), *τὴν κτίσιν αὐτοῦ κατ' ἀριθμόν*, τολμήσειεν ἀτακτεῖν; μάλιστά γε βοῶντος τοῦ Πνεύματος (6): *στέλλεσθαι ἡμᾶς ἀπὸ παντὸς ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν;* Ἔστι δ' αὕτη: *Ἐν ᾧ ἕκαστος ἐκλήθη ἐν τούτῳ καὶ μενέτω* (7). Ἀλλά με καὶ πόθος, καὶ πόνος, καὶ αἱ τοῦ πλήθους βοαί, καὶ δὴ καὶ ζῆλος τοῦ οἴκου τοῦ Θεοῦ προςώτερον κατήγαγεν ἴσως τοῦ δέοντος. Σὺ τοίνυν, δέσποτα, παρακαλοῦμεν, τὸν ἡμέτερον ἀρχιερέα ἀπόδος, μὴ συγχωρῶν ἀλλαχόσε πορεύεσθαι. Καὶ νόμοι γὰρ ἀπαγορεύουσι τὰς ἐπὶ τὰς ἀλλοτρίας ἐπαρχίας πλάνας, καὶ τὴν τοῦ ἰδίου θρόνου κολάζουσιν ἀμέλειαν· ἡμᾶς δὲ καὶ ἡ παγχάλεπος ἀσέβεια κατεπείγει τὸν ποιμένα ἐξαιτεῖν τὸν ἡμέτερον, οὐκ ἀνεχόμενοι, ἀλλ' οὐδὲ ὑπὸ τῶν δεινῶν συγχωρούμενοι ἀνέχεσθαι, τὸν ἐφ' ἡμῖν κεχειροτονημένον ἄλλοις τοῖς μὴ ἀνήκουσιν ἐπισκοπεῖν. Αἰσχυνόμεθα δὲ κἀκείνων ἀκούειν ἐπ' ἀρχιερεῦσιν, ἅπερ ἐπὶ τοῖς ἀστατοῦσι τῶν μοναχῶν εἴρηκέ πού τις τῶν Δυτικῶν οὐκ ἀμούσως, εἶναι: Nusquam fixos, nusquam missos, nusquam stantes, nusquam sedentes.

(1) Ἴσως παρὰ τὸ ψαλμικόν: «Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν» [ρα', 18].
(2) Λουκ. ί', 40.
(3) Ἐννοεῖ ἴσως τό: «Καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν» [Λουκ. γ', 14] Τὸ γάρ: «Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα» ἐστὶν ἀποστολικόν. [Α' Τιμ. ς', 8].
(4) Ἰεζ. λδ', 5.
(5) Ἡσ. μ', 26.
(6) Β. Θεσ. γ', 6.
(7) Α' Κορ. ζ', 24.

Σοῦ δὲ τὴν θείαν κεφαλὴν Θεὸς σκέποιτο εἰς ἀμετρήτους αἰῶνας. Ἀμήν.

Βοηδρομιῶνος τρίτῃ ἐπὶ δέκα, ἔτει σωτηρίῳ αφπγʹ.

Δοῦλος καὶ υἱὸς ἐν Κυρίῳ ἐλάχιστος ἐν πνευματικοῖς
Μελέτιος πρωτοσύγγελος Ἀλεξανδρείας.

ϛʹ.

(σ. 138)

Ἱερεμίᾳ τῷ παναγιωτάτῳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικῷ πατριάρχῃ πᾶσαν ἐν Κυρίῳ ὑπακοὴν (1).

Αἱ ἀθρόαι τῶν μεγάλων πραγμάτων μεταβολαί, δέσποτα, πλήττουσιν οὐ μετρίως, ἢ καὶ καταπλήττουσιν ὁλοσχερῶς τῶν ἀνθρώπων ἐκείνους, οἵτινες ἀφιλοσόφους κέκτηνται τὰς ψυχάς, μὴ προμελετησάσας τῶν ἀνθρωπίνων πραγμάτων τὰς παλιρροίας· τὰς δὲ φιλοσοφήσας ψυχὰς οὐ μόνον οὐ διασείουσι παραβλάπτουσαι, ἀλλὰ καὶ ἐρρωμενεστέρας ἀποδεικνύουσι, κλέους αὐταῖς γενόμεναι ὑποθέσεις. Ἐλέγχει γὰρ καὶ τοὺς ἀνδρείους καὶ τοὺς ἀνάνδρους ὁ πόλεμος· ἀλλὰ τοῖς μὲν δέους καὶ ἥττης γίνεται ἀφορμή, τοῖς δειλάνδροις, μεγαθύμους δὲ καὶ μέγα ὀνίνησιν ἐκλαμπρύνων. Μὴ σέ γε τοίνυν, δέσποτα καὶ πάτερ, καταπληττέτω ἡ ξυμφορά, θειοτάτης λαχόντα ψυχῆς· τοὺς γὰρ ὑπερφυῆ σωφροσύνην ἐνδειξαμένους, ρεόντων κατὰ θυμὸν τῶν πραγμάτων, δεῖ ἐν δεινοῖς εἶναι καρτερικωτάτους, μάλιστά γε κεκοσμημένους θεοσεβείᾳ, καὶ θρόνων ὑψηλοτάτων προεδρίᾳ ἠξιωμένους· ὧν ὁ βίος τύπος πρόκειται τοῖς λοιποῖς καὶ ὑπογραμμός, σωφροσύνης μὲν δικαιοσύνης τε καὶ τῆς ἄλλης ἀρετῆς ἐν ἡσυχίᾳ, καὶ ἠρεμίᾳ, καὶ τύχαις ἀγαθαῖς· ἐν δὲ ζάλῃ καὶ ταράχῳ ὑπομονῆς καὶ καρτερίας· οὐ τὸν τυχόντα δρεπομένων ἐντεῦθεν καρπόν, εἴ περ τοῖς ἀγαθοῖς διδασκάλοις τῶν καλῶν διδαγμάτων ἀγαθὸς ἀπόκειται μισθὸς ἐν οὐρανοῖς

(1) Ἐν τῇ τοῦ τεύχους ᾠζ παρασεσημείωται ταῦτα: «**Μετὰ τὰ πάνδεινα βασάνων γένη καὶ πυρὸς καὶ μαστίγων πεῖραν εἰς Ῥόδον τὴν νῆσον ἐξορισθέντι**»· Ὅρα δὲ τὰ περὶ τούτου ὑπὸ τοῦ φίλου Σάθα ἱστορούμενα ἐν τῷ **Βιογραφικῷ Σχεδιάσματι** σελ. ογʹ.

παρὰ Θεῷ τῷ πάντα ξυμφερόντως σοφίᾳ ἀρρήτῳ διοικοῦντι. Εἰ δέ γε δεῖ πάντως λυπεῖσθαι καὶ κλαίειν, κλαύσωμεν, δέσποτα καὶ πάτερ, κλαύσωμεν καὶ λυπηθῶμεν ἐπὶ τῷ χειμῶνι καὶ διωγμῷ τῆς Ἐκκλησίας Χριστοῦ (διωγμὸν γὰρ τῆς Ἐκκλησίας ἔγωγε γνησίως φαίην τὴν κατὰ τῆς θείας σου κεφαλῆς ζάλην τῶν πειραζόντων πνευμάτων)· τῆς Ἐκκλησίας τὸν διωγμὸν ὀδυρώμεθα, δέσποτα, ἐν ᾧ ἀνάγκη πολλῶν ἀστηρίκτων καρδίας σαλευθῆναι καὶ ἡττηθῆναι πολυτρόπως· Σοῦ γὰρ χάριν, καὶ χαίρειν χρεὼν, ὅν ὑπὲρ τῆς ἀληθείας, ἥτις ἐστὶν ὁ Σωτὴρ, ἔδει παθεῖν τριςμάκαρ· οὐ σὺ, δέσποτα πάτερ· τριςτάλας δ' ἐκεῖνος ὁ ταράττων τὴν ποίμνην τοῦ Χριστοῦ· *Οὐαὶ γάρ*, φησιν, *ἐκείνῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται* (1)· ὅγε ἐλθεῖν ἀνάγκη πᾶσα· ἐπειδή: *διὰ πολλῶν θλίψεων εἰςάγει τοὺς οἰκείους ὁ Χριστὸς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ* (2). Ἐγώ σοι, δέσποτα, οὐ πολλὰ περὶ τούτων διαλέγομαι (οἶδα γάρ σου τὴν θεοφιλῆ καὶ ἰσαπόστολον ψυχὴν ἀκριβῶς, καὶ κινδύνοις φιλοσοφοῦσαν, οἶμαι δὲ καὶ πρὸς ἑαυτὴν ὑπάρξαι διαλεγομένης ἀκοῦσαι ὁμοφρόνως τῷ μακαρίῳ Ἰωάννῃ, οὗ καὶ τὸν θρόνον ἔχεις, καὶ τὸν ζῆλον, καὶ τὴν γλῶτταν τὴν αὐτήν)· εἰ καὶ πυρὶ βούλεται ὁ βασιλεὺς, καὶ σιδήρῳ καθ' ἡμῶν χρήσασθαι καὶ ὕδατι. Ἔχω τοὺς προπεπονθότας, καὶ διὰ τῶνδε Θεῷ εὐαρεστήσαντας. *Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς* (3). Καὶ ταῦτα μὲν, τῶν δεινῶν προςδοκωμένων· ἐν δὲ μέσαις φυλακαῖς καὶ *χειροπέδαις σιδηραῖς* (4), τίς ἂν ἀμφιβάλλοι (5) μὴ καὶ αὐτὴν τὰ αὐτὰ τῷ μακαρίῳ Πέτρῳ (6) προςδιαλεχθεῖσαν τῷ τῶν ὅλων Θεῷ, καὶ κούφας ἐσχηκυῖαν τὰς πέδας; Ἐν δὲ ταῖς τῶν μακαρίων μελῶν στρεβλώσεσιν ἐγὼ νομίζω, ὡς ἐν ἄλλῃ χαλδαϊκῇ τινι καμίνῳ συγκεκροτηκυῖάν σου τὴν μακαρίαν ψυχὴν, τὰς τῶν Ἀγγέλων χοροστασίας σὺν τῇ κτίσει ξυμπάσῃ ὁμόφωνόν τινα τοῖς περὶ τὸν Ἀζαρίαν συμπλέξαι καὶ παναρμόνιον ᾠδὴν τῷ παντοκράτορι. Νῦν δὲ πάλιν, μετὰ τὴν τῶν παγχαλέπων ἔκφευξιν βασά-

(1) Ματθ. ιή, 7.
(2) Πράξ. ιδ', 22.
(3) Ῥωμ. ή, 18.
(4) Ψαλμ. ρμθ', 8.
(5) Τὸ χειρόγρ. ἀμφιβάλλειεν. Οὕτω δὲ χρῆται συνήθως τῇ τοῦ αἰολικοῦ ἀορίστου καταλήξει ἐπὶ τῶν γ' ἑνικῶν προσώπων τοῦ εὐκτικοῦ ἐνεστῶτος.
(6) Πράξ. ιβ'.

νων, οὐδὲν ἧττον ἔχειν νομίζω τὸ φρόνημα φιλοσοφοῦν, ἀλλὰ συλλεγόμενον ἐκ τούτων ἁπάντων ἀρρήτου παραμυθίας ἀφορμὰς, ὑπὲρ ἑαυτῆς ἐγνωκὸς ὑπερμαχοῦσαν τὴν Πρόνοιαν. Ψυχῇ οὖν ταῦτα καὶ τοιαῦτα φιλοσοφούσῃ, καὶ τὴν τοῦ Παρακλήτου ἐχούσῃ παρηγορίαν, ἄλλη πᾶσα παράκλησις περιττὴ, εὖ εἰδυίᾳ πόσον ὑπερβολῆς βάρος παρακλήσεως ἐργάζεται τὸ τῆς ἐνταῦθα θλίψεως ἐλαφρόν, μὴ σκοπούσῃ τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· τὰ μὲν γὰρ πρόσκαιρα, τὰ βλεπόμενα· τὰ δὲ αἰώνια, τὰ μὴ βλεπόμενα. Ταύτην οὐ δυνήσεται, ἐγῷμαι, χωρίσαι τῆς ἀγάπης τοῦ Χριστοῦ, οὐ θλίψις, οὐ στενοχωρία, οὐ λιμὸς, οὐ διωγμὸς, οὐ κίνδυνος, μὴ ἐνεστῶτα, μὴ μέλλοντα, μὴ κτῆσίς τις, ἢ τίς ἐστιν ἑτέρα· οἴσει δὲ γενναίως καὶ εὔελπις τὰ παρόντα δεινὰ, ὡς αἰωνίων ἀγαθῶν πρόξενα.

Ἐρρώσθω ἐν Κυρίῳ ἡ μακαρία σου ψυχὴ καὶ ἡμῶν ὑπερευχέσθω.

Ἐξ Αἰγύπτου Βοηδρομιῶνος ά ἐπὶ δέκα,
ἔτει κοσμογενείας ,ζϞϐ′ (+ 1563).

Ζ′.

(γ′ *)

Ἱερεμίᾳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως.

Μὴ δυσχεραίνωμεν πρὸς τοὺς ἐλέγχους, παναγιώτατε δέσποτα, ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος, ἀλλὰ πρὸς τὰς τῶν ἐλέγχων ἀφορμὰς, ἂν ὦσιν ἀληθεῖς· ἔλεγχοι γὰρ ἀγάπης, κατὰ τὰ ἱερὰ λόγια, οἱ ἔλεγχοι. Ἐγὼ γὰρ, φησὶ παρ' Ἰωάννῃ (1), οὓς ἀγαπῶ ἐλέγχω· εἰ δὲ ψευδεῖς ὦσι, καὶ χαίρωμεν· τῶν γὰρ ἔξω σοφῶν εἴη ἂν εὐλαβεῖσθαι τὰς διαβολὰς καὶ ψευδεῖς οὔσας (2). Χριστὸς δὲ ὁ Σωτὴρ ἡμῶν ἐν μέρει μακαρισμοῦ τίθεται (3) τοὺς ὀνειδισμοὺς καὶ πᾶν ῥῆμα πονηρὸν λεγόμενον καθ' ἡμῶν, ψευδόμενόν γε καὶ τῆς ἀληθείας χάριν. Οἶδα μὲν οὖν ἐγὼ καὶ σοῦ τὴν ἱερὰν ψυχὴν οὐ πατριαρχικῶς κινη-

(*) Ὁ ἐν μηνίσκοις περίκλειστος ἑλληνικὸς χαρακτὴρ σημαίνει τὸν ἀριθμὸν τῶν ἐν τῷ τεύχει τῆς Πατμιακῆς βιβλιοθήκης περιεχομένων ἐπιστολῶν.

(1) «Ἐγὼ γὰρ ὅσους ἐὰν φιλῶ, ἐλέγχω καὶ παιδεύω». Ἀποκ. γ′, 19.

(2) Παρὰ τὸ τοῦ Ἰσοκρ. Πρὸς Δημόν. δ′.

(3) Ματθ. ἐ, 11.

θεῖσαν εἰς ἡμῶν καὶ τοῦδε τοῦ ἀποστολικοῦ θρόνου καταφρόνησιν κεκρικέναι· ἃ δὴ καὶ ὁμολογοῦσιν οἱ τὰ τοῦ ἀποστολικοῦ θρόνου διαρπάξαντες (sic) αὐτόθι. Φασὶ γὰρ ἀναφανδὸν σφᾶς ὑπὸ τῆς σῆς φιλοκάγαθίας ἀπεστάλθαι εἰς Ἀμπουκουρέσθι λαβεῖν, ἃ δὴ καὶ ἔλαβον, διαφράττοντες, οἷά τινες νεφέλαι πονηραὶ, τὴν ἐς βοήθειαν τῆς ταλαιπωρίας τοῦ θρόνου ἐκπεμφθεῖσαν ἐλεημοσύνην παρὰ τοῦ εὐσεβεστάτου βασιλέως· ὧν τὴν ἐκ τῆς ὁμολογίας ἐκφύουσαν μέμψιν ἔδει σου τὴν σύνεσιν μακροθύμως ἀποσκευάσασθαι. Οἶδα δὲ καὶ ἡμᾶς συμπαθόντας τῷ δικαίῳ δριμύτερον καθάψασθαί σου τῆς ψήφου. Καὶ τί γὰρ ἂν ἄλλο ποιήσαιμεν, πολλὰ μὲν πρότερον ἐν ὑποδεεστέρῳ διάγοντες τῆς Ἐκκλησίας βαθμῷ, πολλάκις πολλαχόθι καὶ λέξαντες, καὶ πράξαντες ὑπὲρ σοῦ, καὶ παθόντες διὰ σὲ, ὑπὸ σοῦ νῦν οὕτως ἀμειβόμενοι (1); Τί δαὶ εἴ σοι καὶ τὰς μελέτας ἐκφαίνω τὰς ἐμάς; ὅτι δηλονότι, μετὰ τὸ εἴρχθαί με ἄκοντα (οἶδε Θεὸς) τῇ εἰς τὸν ἀποστολικὸν τοῦτον θρόνον ἀναγωγῇ, ὅτε σου καὶ τὰ ἱερὰ φοιτῶντα γράμματα προςεκάλει ὡς ὑμᾶς αὐτόσε, ὥςτε χειροτονηθῆναι ἐν Κωνσταντινουπόλει (ὃ πολλῶν χάριν ποιῆσαι κεκωλύμεθα), διελογιζόμην ἀφικόμενος πρὸς ὑμᾶς μεταδοῦναι οὐ τῆς ἐξωτέρας ἐκείνης ρανίδος, ἧς μετέλαβον αὐτόθι πρότερον παρ' ἡμῶν τῶν φίλων τινὲς, ἀλλὰ καὶ τῆς καθ' ἡμᾶς σοφίας τῶν ναμάτων τοῦ ποταμοῦ τοῦ Θεοῦ, οὗπερ *τὰ ὁρμήματα τὴν τοῦ Θεοῦ πόλιν εὐφραίνουσι* (2). Τί τοίνυν, εἴ σοι καὶ ταῦτα διηγήσομαι; Σὸν ἂν εἴη διανοηθῆναι ὅσον ἐξαίφνης προςπεσόντα τὰ καλὰ ἐκεῖνα μηνύματα συγχεῖν ἔμελλον ψυχὴν ἀγαθὴν, κ' οὐ μόνον οὐδὲν συνειδυῖαν ἑαυτῇ κακὸν, ἀλλὰ καὶ ἐμμελετῶσαν μελέταις πρὸς ὑμᾶς ἀγαθαῖς. Οἶδα πρὸς τούτοις χαλεπήνας ἐπὶ τῇ ἀναγωγῇ εἰς πατριαρχεῖον τῆς Μοσκόβου μητροπόλεως· οὐ γάρ σε διαλανθάνει οὐχ ἑνὸς εἶναι τοῦτο πατριάρχου (εἰ μὴ τῇ παλαιᾷ Ῥώμῃ ὑπακολουθεῖν ἔγνωκεν ἡ νέα), ἀλλὰ συνόδου, καὶ συνόδου οἰκουμενικῆς, τῶν ὀρθοδόξων δηλονότι· τοῦτον γὰρ τὸν τρόπον καὶ τὰ μέχρι σήμερον πατριαρχεῖα κατέστη. Διὰ τοῦτο ἔδει σου τὴν ἱερὰν ψυχὴν καὶ τῶν λοιπῶν ἀδελφῶν συμπαραλαβεῖν τὴν ψῆφον· δεῖ γὰρ πάντας (ὡς κατὰ τὴν τρίτην σύνοδον οἱ πατέρες διορίζονται) εἰδέναι τὸ πραττόμενον, ὅτε περὶ κοινοῦ τινος πράγματός ἐστιν ἡ σκέψις. Φανερὸν δὲ, ὅτι θρόνος οὐδεὶς πατριαρχικὸς

(1) Τὸ χειρόγρ. **ἀμοιβόμενοι.**

(2) Ψαλμ. μέ, 4.

ἑτέρῳ ὑπόκειται, ἀλλὰ τῇ καθολικῇ συνδέδεται Ἐκκλησίᾳ. Ταῦτα μὲν οὖν ἐγὼ καὶ πράξας οἶδα, καὶ πεπονθὼς ταῦτα, καὶ μαθὼν, καὶ εἰπὼν, καὶ γράψας. Ἐπειδὴ δὲ οὐκ εἰς ἀγαθόν τι ἐπικλίνουσιν ὑμᾶς ἡμῶν οἱ λόγοι, ἀλλ' εἰς ταραχὰς, καὶ θυμοὺς, καὶ τὰ τούτοις ἑπόμενα, ἐγώ σου τὴν ἱερὰν ψυχὴν τῶν μέμψεων, καὶ ἡμᾶς πραγμάτων ἀπαλάττω· εὔχομαι δὲ τὸν Θεὸν ὑμῖν ἵλεων εἶναι, ἀξιῶσαί τε μετ' οὐ πολὺ συγγενομένους ἀλλήλοις, τῶν ἐρασμίων τῆς ἐν Πνεύματι φιλίας ῥόδων (1) ἀπολαβεῖν, καθάπερ ταῖς τῶν ῥόδων ἀκάνθαις δεδήγμεθα. Τοὺς κὺρ Ἀντωνίους ὑπερεύχου. Εἰ βούλει με παραγενέσθαι μετὰ τῶν, ὧν εἴρηκα, μελετῶν, τότε ἑτοίμασόν σοι καὶ τόπον ἥσυχον, ὅσα δεῖ βουλομένοις φιλοσοφεῖν, καὶ ἡμᾶς προςδέχου συμφιλοσοφήσοντας τό γε δυνατόν.

Ἔρρωσο αφϟά.

Η'.

(μ')

Ἱερεμίᾳ πατριάρχῃ Κωνσταντινουπόλεως.

Τὰ καθ' ἡμᾶς ὀλοφύρεσθαι περιττὸν, μὴ καὶ φανῶμεν ταῖς παραβάσεσι, κατὰ τὸν γενναῖον Ἐφέσου, μόνον ἐκκαυθέντες. Πλὴν ἐπειδὴ νικᾷ καὶ βουλὴν πᾶσαν, καὶ θεραπείας ἐπιχείρησιν, ἀναχωρητέον γοῦν τοῖς σφίσιν αὐτοῖς προςέχειν, καὶ Θεῷ λατρεύειν τὸν ἐνόντα γε τρόπον καθαρώτερον προαιρουμένοις. Τί γὰρ ἂν καὶ ποιήσειέ τις ἐν ἡμέραις οὕτω πονηραῖς, ἐν αἷς πράττεται ὑγιὲς μηδὲ ἕν; Λυπεῖ με καὶ τοῦτο, ὅτι μεμόνωμαι ἱερέως συνομαρτήσοντός μοι τῶν τῇδε ἀπαίροντι· οἰχόμεθα γὰρ εὐθὺς λαβόντες, ἃ ἡμῖν ὀφείλει χρήματα ἡ σὴ τιμία κεφαλὴ, οἷςπερ εἰς δαπάνην χρησόμεθα τῆς ἡμετέρας ὁδοιπορίας· ἣν παρακαλοῦμεν, εἰ δυνατὸν, μὴ ἐμποδισθῆναι παρὰ τῆς σῆς φιλοκαγαθίας. Ἔρρωσο ἐν Κυρίῳ, δέσποτα καὶ ἀδελφὲ αἰδεσιμώτατε. αφϟγ'.

(1) Τὸ χειρόγρ. ῥόδον.

Θ'.

(μά)

Τῷ αὐτῷ οἰκουμενικῷ.

Πείθομαί σου τοῖς λόγοις, ἱερὰ κεφαλὴ, καὶ εἴκων τῇ σῇ ἀξιώσει τὴν εὐπείθειαν φαίνω. Σὺ δὲ φρόντισον τοῦ λοιποῦ ὅτε μοι ἀπιτέον· εὔλογον γὰρ, ὡς γράφεις, καὶ τῇ φιλαδελφίᾳ προςῆκον, μὴ ἀποδημῆσαί με πρὶν ἐπινεῦσαί σου τὴν ἱερὰν κεφαλήν. Γενέσθω δὲ, παρακαλῶ, τὰ πάντα μετὰ ἀκριβεστέρας τῆς σκέψεως, μὴ καὶ ὑμεῖς καὶ ἡμεῖς λυποίμεθα. Ἔρρωσο.

Ι'.

(ν')

Ἱερεμίᾳ πατριάρχῃ Κωνσταντινουπόλεως.

Καλῶς ὁρίζεις ὅτι, ἐπειδὴ περὶ τούτου τοῦ ἀνδρὸς τοῦ νῦν κατέχοντος τὴν γυναῖκα, ὁ πρότερος ἐκείνης ἀνὴρ οὐ κατηγόρει τῆς γυναικὸς, οὐδὲ ἕως ἦν ἐμφανὲς τὸ μεταξὺ τούτου καὶ τῆς γυναικὸς μοιχικὸν ἔγκλημα, καὶ διὰ τοῦτο καὶ ἡ κρίσις ἀφῆκε τοῦτον λαβεῖν αὐτὴν εἰς γυναῖκα· ἀλλ' ὅταν πνευματικῶς ἀνακρίνωμεν τὰς ὑποθέσεις, καὶ γνωρίσωμεν κατὰ τὸ πνευματικὸν τοῦτο κριτήριον τὰ βάθη τὰ κεκρυμμένα, οὐ πρὸς τὸ φαινόμενον φέρομεν τὰς ψήφους (καθὼς ἡ κρίσις), ἀλλὰ πρὸς τὸ ὂν τοῦ πράγματος. Διὰ τοῦτο καὶ κρίνομεν πνευματικῶς τὰ πνευματικῶς φανερούμενα, μηδόλως δημοσιεύοντες τὰ κεκρυμμένα καὶ πνευματικῶς μόνον φανερωθέντα ἡμῖν ἐνώπιον Θεοῦ. Εἰ οὖν βούλονται σωθῆναι, ἡσύχως καὶ ἀταράχως τῆς σαρκικῆς συμμίξεως ἀφιστάσθωσαν, ὥςγε ἐμοὶ ὡς πνευματικῷ φαίνεται· δύναται γὰρ τῇ σῇ παναγιότητι ὡς κριτῇ ἄλλως δόξαι· καὶ ἀνατρεφέτωσαν (1) ταλαιπώρως τὰ ἐξ αὐτῶν γεννηθέντα τέκνα τὰ δύςτηνα. ᾳζά (2).

(1) Τὸ χειρόγρ. **ἀναθρεφέτωσαν.**

(2) **Ἐσφαλμένως ἔγραψεν ὁ ἀντιγραφεὺς ᾳζά, ἀντὶ ,ζρά († 1593).**

ΙΑ΄.

(νη΄)

Ἱερεμίᾳ τῷ οἰκουμενικῷ.

Ἄνδρα πέμπεις παρ᾽ ἐμὲ τὰς μοναχικὰς ἀθετήσαντα συνθήκας, τὸ τῆς ἱερωσύνης δὶς βεβηλώσαντα χρίσμα, καὶ λαβόντα ἀναξίως, καὶ ῥίψαντα ἀπεριμερίμνως, ζητοῦντά τε ἐφ᾽ οἷς ἔπραξεν ἀμνηστίαν, καὶ ἄδειαν τοῦ τοῖς βιωτικοῖς ἐντρυφᾶν, καὶ ταῦτα πεπαρρησιασμένως πεπραχότα τε καὶ πράττοντα. Ἐγὼ μὲν οὖν τὰ μὲν τραύματα γνωρίζω χαλεπὰ, τὸν δὲ τραυματίαν ἀνίατον· οὔτε γὰρ αὐτὸς, οὔτε ὁ πατὴρ ταῖς νουθεσίαις καὶ παρακλήσεσι, ταῖς εἰς τὸ κρεῖττον ἀνακαλούσαις, εἰςκάμπτονται. Ἀνατρεχέτω τοίνυν ὡς ὑμᾶς, ἢ πειθόμενος ταῖς τῆς εὐσεβείας συμβουλαῖς, ἢ πεισόμενος ὅ,τι ἂν δόξοι κατὰ νόμους τῇ σῇ συνέσει διακρῖναι. Ἔρρωσο. αφϞγ΄.

ΙΒ΄.

(ξ΄)

Ἱερεμίᾳ τῷ οἰκουμενικῷ.

Λῃσταῖς περιπεσὼν ὁ πρεσβύτερος Ἰάκωβος, καὶ συληθεὶς τὰ συστατικὰ γράμματα, μὴ ἀποτύχοι ἐλέους. Δίκαιον γὰρ καὶ αὐτοὶ κρίνομεν τὸν ἄνδρα, καὶ δι᾽ ἐξαγορεύσεως ἐξετάσαντες ἐνώπιον τῆς ἱερᾶς εἰκόνος τοῦ Σωτῆρος καὶ τῆς Θεομήτορος, ἀλλὰ καὶ τῶν ἔξωθέν τισιν ἐντυχόντες περὶ τοῦ ἀνδρὸς μαρτυροῦσιν ἀγαθά. Ἐχέτω τοίνυν τὸ ἐνδόσιμον τῆς ἱερωσύνης, καὶ συστατικῶν γραμμάτων παρὰ τῆς μητρὸς, τῆς μεγάλης φημὶ Ἐκκλησίας, μὴ ἀποστερείσθω.

ΙΓ΄.

(ξα΄)

Τῷ αὐτῷ.

Τὰς ἀγαθὰς ἀγγελίας παρ᾽ ἑαυτοῖς κατέχειν οὐκ ἀνεχόμεθα· ἀλλ᾽ εἰς Θεοῦ πλατυτέραν δοξολογίαν σοῦ τῇ ἱερᾷ κεφαλῇ κοινωνοῦντες

τῆς εὐφροσύνης, εὐαγγελιζόμεθα γέννησιν ἄρρενος παιδὸς νέου Ἰωάννου τῷ εὐσεβεστάτῳ Ῥωσίας αὐτοκράτορι. Εὐχαρίστους οὖν ἀναπεμπτέον τῷ φιλανθρώπῳ Θεῷ δοξολογίας, καὶ καρδίας ἱερατέον (1) τῷ μὴ παρεωρακότι δικαίου βασιλέως αἴτησιν, ἱερὰν τὴν τῆς ὀρθοδόξου βασιλείας διαδοχήν.

ΙΔʹ.

(ξϛʹ)

Ἱερεμίᾳ τῷ οἰκουμενικῷ.

Οἱ τηλικοῦτον χρόνον ἀντιπνεύσαντες νότοι, τὸ σκάφος ἡμῖν ἀναβεβηκόσιν, ἐφησυχάσαντες παρακεχωρήκασιν εὐμενεστάταις αὔραις, αἷς ἀρθέντες δείλης ἑσπέρας ἀπὸ Βυζαντίου, ἐς Καλλιούπολιν εὐμαρέστατα κατηντήκαμεν, ὑπεραλλομένου μικρὸν τοῦ ἡλίου τὸν ὁρίζοντα. Τὰς δὲ εὐχὰς ἀποδώσειν τῷ Σωτῆρι τῆς νηὸς ἀποβᾶσιν ἡμῖν, ἧκει ὁ ἱερὸς Ἰωαννίνων μηνύων τὴν οὐ σμικρὰν ἀθυμίαν τῆς ἱερᾶς σου ψυχῆς, ταῖς ἡμετέραις ἀποδημίαις αὐξηθεῖσαν. Ἠλγήσαμεν νὴ τὴν ἡμετέραν ἀγάπην, καὶ εἰ ἦν δυνατὸν, ἀνεπλεύσαμεν ἂν, οὐδὲν ὅλως μελλήσαντες, σοῦ τε παραμυθησόμενοι τὴν ἀθυμίαν καὶ τὴν τοῦ δήμου παντός. Νυνὶ δὲ ἀπόντες, τὸν ἐνόντα με τρόπον ἱκετεύομεν τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, οὐ μόνον παρακαλέσαι τὰς καρδίας ὑμῶν τεθλιμμένας οὔσας, ἀλλὰ καὶ τὴν ἐπικειμένην ζάλην ἀπαρκέσαι, τήν τε δημόσιον καὶ τὴν τῆς Ἐκκλησίας, ὡς ἐστι πάντα ἐλεεινά. Τοῦτο δέ μοι τὴν λύπην διπλασιάζει, ἀπὸ ταλαιπωρίας οἰχομένῳ εἰς ταλαιπωρίαν· οὐ γὰρ Θρᾴκη μόνη πλουτεῖ τῶν κακῶν, ἀλλὰ Θρᾴκην Αἴγυπτος ὑπερακοντίζει. Ἐγὼ δὲ οὔτε ἐν Καλλιουπόλει, οὔτε κατὰ Σηστὸν καὶ Ἄβυδον, ὅθεν διέβην, οὐδὲ κατὰ Τένεδον (ἐκεῖ γὰρ κατέχουσιν ἡμᾶς οἱ μὴ πνέοντες ἐξ οὐρίας ἄνεμοι), κατ᾽ οὐδὲν ἐξευρίσκω τὴν ἀφθονίαν τῶν κακῶν μειονεκτοῦσαν. Πανταχοῦ ταραχαὶ, φόβοι, δάκρυα, στεναγμοὶ, κ᾽ οὐκ οἶδα ποῖ λήξει τὰ κακὰ, ἢ τίνα ἕξουσι παραμυθίαν· ἓν οἶδα, δεῖν ἡμᾶς ἐκτενέστερον δεομένους καὶ πολιτευομένους ὁσιώτερον, ζητεῖν καὶ προσδοκᾷν παρὰ τοῦ Σωτῆρος τῶν τ᾽ ἐνόντων καὶ τῶν μελλόντων δεινῶν τὴν ἀπαλλαγήν. Διὸ καὶ τὴν σὴν παρακαλῶ

(1) Γρ. ἴσ. **ἱερωτέον.**

ἱερὰν ψυχὴν σχεῖν μικρὸν τοὺς χαλινοὺς τῶν ἐκκλησιαστικῶν προςώπων. Νὴ γὰρ τὴν ἀλήθειαν, πολὺς ἑσμὸς ἐκχεῖται παρὰ τῶν ἡμετέρων τουτωνὶ, τῶν ἀρχιερατευόντων, τῇ οἰκουμένῃ τῶν κακῶν. Τὸν ἐμὸν υἱὸν, τὸν καὶ σοῦ τῇ ἱερᾷ ψυχῇ φίλον Ἀντώνιον, τὸν ἐφ' ἡμᾶς πολλὰ πολλάκις πανοικεὶ κεκοπιακότα ἐξ ὅλης ψυχῆς, ἀνατιθέμεθά σου τῇ ἀγάπῃ. Δεῖξον ἐν αὐτῷ ὅσον ἡμᾶς δι' ἀγάπης ἄγεις· φύλαξον αὐτὸν ἀπὸ τῆς, ἧς οἶδας τῶν *κασάπιδων* λώβης. Παρ' ὧν γὰρ ἂν, καὶ ὅσον ἂν βλαβείη Ἀντώνιος, ἡμεῖς βλαπτόμεθα· καὶ οἳ αὐτὸν αὖ, καὶ ὅσον αὐτὸν ὠφελήσωσιν, ἡμᾶς καὶ τὸν ἡμέτερον ὠφελήσουσι θρόνον· δι' οὓς αὐτὸς πανοικεὶ τῶν ὑπαρχόντων αὐτοῖς, καὶ σφῶν αὐτῶν οὐκ ἐφείσατο. Μήνυσον τὸ ἐκβησόμενον σοῖς ἡμῖν γράμμασιν, ὡς ἂν εὐψυχῶμεν μαθόντες τὰ καθ' ὑμᾶς. ͵αφϟγ'.

ΙΕ'.

(ο')

Ἱερεμίᾳ τῷ οἰκουμενικῷ.

Συνιστᾶν σου τῇ θείᾳ κεφαλῇ κἀκ τῆς Ἀλεξάνδρου, ὡς καὶ ἐκ Τενέδου, τὸν σόν τε καὶ ἐμὸν Ἀντώνιον ἐπιχειροῦμεν, ὥςτε τῆς φιλανθρωπίας ἐκείνης μὴ ἐκπεσεῖν, τῆς παρὰ τῶν ἀνδρῶν ἐκείνων καὶ σοῦ τῇ ἱερᾷ ψυχῇ καὶ ἡμῖν αὐτοῖς ἐπαγγελθείσης.

Ιϛ'.

(πη')

Ἱερεμίᾳ τῷ οἰκουμενικῷ.

Σὺ μὲν, παναγιώτατε δέσποτα, ἀγνοοῦντας ἡμᾶς τὰ κατὰ τὴν χειροτονίαν τοῦ κὺρ Λαυρεντίου Σινᾶ ἀνεδίδαξας, καὶ βουλόμενος αὐτὸν διὰ γραμμάτων συνοδικῶν καθελεῖν μόλις ἡσύχασας, ὑπισχνουμένων (1) ἡμῶν διόρθωσιν, ἣν καὶ ἐλπίζομεν ἀσπασομένους ἑκουσίως τοὺς πατέρας τοῦ μοναστηρίου. Ἐπειδὴ δὲ οὐ προςίενται τὴν ἐμὴν βουλὴν, ἔγραψα καὶ πρὸς τὸν παναγιώτατον Ἀντιοχείας· ὃς καὶ ἀντέ-

(1) Τὸ χειρόγρ. **ἐπισχνουμένων.**

γραψεν, ὅτι διὰ τὸν φόβον τῶν ἐπισκόπων αὐτοῦ, οἵτινες διὰ τὴν καθαίρεσιν, ἣν ἔλαβον ἀπὸ Κωνσταντινουπόλεως, ὅτε καὶ ἡμεῖς παρῆμεν, ἐποίησαν σκάνδαλα, καὶ φοβούμενος πάλιν τὰς φυλακὰς καὶ τὰς ζημίας διωρίσατο, ὡς ὅ,τι ἂν ἡμεῖς κατὰ νόμον κρίνομεν, καὶ αὐτὸς ὁ Ἀντιοχείας συμψηφίζει. Ἐπειδὴ τοίνυν ταῦτα οὕτως ἔχει, ἠναγκάσθημεν κρίσιν τοιαύτην ποιῆσαι, ἣν καὶ δηλοῦμεν καὶ τῇ σῇ παναγιότητι, ἵνα συνοδικῶς αὐτόθι λάβῃ τὸ κῦρος, εἴγε καὶ δόξει τῇ σῇ συνέσει· Ἐκρίναμεν οὖν, ἵνα ὅσους ἐχειροτόνησεν ὁ ῥηθεὶς κὺρ Λαυρέντιος πρὶν ἰδεῖν τὸ γράμμα τῆς σῆς παναγιότητος, ὅπερ ἔγραφες πρὸς τὸν παναγιώτατον Ἱεροσολύμων, ὅπερ [καὶ ἔδειξεν ;] (1) αὐτῷ ὁ ῥηθεὶς ἁγιώτατος πατριάρχης Ἱεροσολύμων, οὗτοι καὶ μόνοι ἔχωσι, κατὰ φιλανθρωπίαν, τὸ ἐνεργεῖν, φυλάττοντες καὶ τοῦτο τῇ κρίσει τῆς μελλούσης συνόδου συγκροτηθῆναι παρὰ σοί· ἄλλους δὲ μὴ τολμᾶν τὸν αὐτὸν ἐπίσκοπον χειροτονῆσαι· αὐτὸν δὲ τὸν ἐπίσκοπον, ὡς παρανόμως χειροτονηθέντα, κρίνομεν, καθὼς ἔκρινεν ἡ σὴ παναγιότης, ἡμῶν παρόντων ἐν Κωνσταντινουπόλει, κατὰ τὸν Δ' κανόνα τῆς ἁγίας καὶ οἰκουμενικῆς πρώτης συνόδου, ὁρίζοντα ἐξάπαντος ὀφείλειν γενέσθαι τὰς ἐπισκόπων χειροτονίας ὑπὸ τριῶν τὸ ἔλαττον, ὡς καὶ ὁ δέκατος τρίτος τῆς ἐν Καρθαγένῃ (2)· καὶ κατὰ τὸν Α' τῶν ἁγίων Ἀποστόλων, ὃς ὁρίζει δύο ὀφείλειν εἶναι τοὺς χειροτονοῦντας· δῆλον δὲ ὅτι μετὰ τοῦ πρωτεύοντος, ὥςτε εἶναι τρεῖς· δεῖ γὰρ συμπληροῦσθαι τὸν ἀριθμὸν τῆς ἁγίας Τριάδος, καθώς φησιν ὁ νέος Θεολόγος ἐν τῇ χειροτονίᾳ τοῦ ἀρχιερέως. Ὅτι δὲ οὗτός ἐστιν ὁ σκοπὸς τοῦ Α' κανόνος τῶν ἁγίων Ἀποστόλων, δεικνύουσι οἱ διδάσκαλοι ἑρμηνεύοντες τὸν κανόνα τὸν Δ' τῆς Α' συνόδου· τοῦτο δὲ ἔχουσι παρὰ τοῦ Ν' κανόνος τῆς ἐν Καρθαγένῃ, ἔνθα ὁ μητροπολίτης ἱκετεύει, ἵνα συγχωρηθῇ παρὰ τῆς συνόδου, ιϐ' ψηφιζούσης, μετὰ δύο ποιεῖν τὴν χειροτονίαν τοῦ ἐπισκόπου, καὶ οὕτω συμπληροῦσθαι τὸν ἀριθμὸν τὸν ὁριζόμενον παρὰ τῶν ἁγίων πατέρων. Τὴν γὰρ ἀλλοτρόπως γινομένην χειροτονίαν παράνομον κρίνομεν κατὰ τὸν ΙΘ' κανόνα τῆς ἐν Ἀντιοχείᾳ, λέγοντα ὅτι: ἂν ἄλλως παρὰ τὰ ὁρισθέντα γένηται, μηδὲν ἰσχύειν (λέγει μηδὲν ἰσχύειν) τὴν χειροτονίαν. Τούτους δὲ τοὺς κανόνας ἀξιοῦμεν ἀναγνωσθῆναι· ὁρῶμεν γὰρ τὴν γνώμην τῆς σῆς πανα-

(1) Οὕτως ἀναπληροῦν ἔκρινα τὸ ἐν τῷ χειρογράφῳ χάσμα.
(2) Τὸ χειρόγρ. Καθαργένῃ, ὅπως καὶ κατωτέρω.

γιότητος, ἣν τότε ἔλεγες, συμφωνοῦσαν τοῖς πατράσι. Διὸ καὶ ἡμεῖς καὶ τοῖς πατράσι, καὶ τῇ σῇ παναγιότητι συμψηφιζόμεθα, καὶ τὸ παρὸν παρρησίᾳ γράφομεν, καθὼς καὶ ἔμπροσθεν τῶν πατέρων ἐξεφωνήσαμεν.

κέ Ἀπριλίου ζργ'. ᾳφϟϛ'.

ΙΖ'.

(λϛ')

Λαυρεντίῳ ἱερομονάχῳ ἡγουμένῳ Μαρένῳ] (1).

Πολλά σοι καὶ τῇ τιμίᾳ ἀδελφῇ Νεοφύτῳ ἱερομονάχῳ τῷ ἐμῷ υἱῷ φιλανθρωπευσαμένοις, πολλὰς καὶ τὰς χάριτας οἴδαμεν. Ἀλλ' ὑμεῖς μὲν νῦν ἴσως καταβάλλετε τῆς ὑμετέρας πρὸς ὑμᾶς ἀγάπης τὰ σπέρματα· ἐγὼ δὲ τῆς ἐμῆς πρὸς ὑμᾶς στοργῆς τὰς ἀπαρχὰς δρέπομαι, ταμιείοις εὐγνωμοσύνης ἀποτιθέμενος, ἐθομένας ποτὲ προσηκούσης ἀμοιβῆς ὑποθέσεις· ἡ γὰρ διὰ τουτωνὶ τῶν γραμμάτων εὐχαριστία τῆς μεγάλης ἀγάπης ἀμυδρά τίς ἐστιν ἀπαρχή· ἣν γνοίητέ ποτε τρανώτερον, εἴγε Θεὸς συγγενέσθαι ἡμᾶς ἐπινεύσοι ἐπὶ τῆς ἀποστολικῆς καθέδρας τοῦ εὐαγγελιστοῦ Μάρκου· ἧς πέρ σου τὴν φιλοκάγαθίαν τῇ ἱερᾷ τῶν πρωτοσυγγέλων τάξει τά δε τὰ γράμματα ἐγκεντρίζει, μέγαν πρωτοσύγγελον καθιστάμενα, κεκοσμημένον ὑπογονατίῳ, σκιαδίῳ τε μετὰ σταυροῦ, καὶ τῆς ἀξίας καὶ ἐξουσίας τῆς τῷ ὀφφικίῳ ἐπακολουθούσης. Ὑγιαίνοις μετὰ τῆς ἀγαθῆς Εὐγενίας τῆς θυγατρὸς ἡμῶν, ἥ περ συζεύξας τὴν ἐμὴν Εὐλογίαν (οἶδας νομίζω τὴν ἐμὴν ἀδελφὴν χειμαζομένην καὶ κινδυνεύουσαν), οὐ Θεῷ μόνον θυσίαν οἴσεις δεκτὴν, ἀλλὰ καὶ τρόπαιον ἡμῖν τῶν Ἡρακλείων στηλῶν λαμπρότερον ἀναστήσεις.

[Ἔρρωσο]. Ἐν Κωνσταντινουπόλει ᾳφϟγ' [δ' Μαΐου].

(1) Τὰ ἐν ἀγκύλαις περίκλειστα προσετέθησαν ἐκ τοῦ παρ' ἐμοὶ χειρογράφου, ἔνθα αὐτὴ κεῖται ἐπιστολὴ ἐν σελ. 249.

ΙΗ΄.

(ογ΄)

Λαυρεντίῳ ἱερομονάχῳ.

Εὐλογίαν τὴν ἐμὴν ἀδελφὴν θανατηφόρῳ περιπεσοῦσαν νόσῳ παρεμυθήσω φιλανθρώπως ἐπισκεψάμενος, ἐν ταὐτῷ καὶ τῷ Σωτῆρι ταῦτα προςτεταχότι (1) πειθόμενος, καὶ τοῖς θεραπευθεῖσι προκαταβαλλόμενος εὐχαριστίας ὑποθέσεις· ἅς σοι τουτὶ φέρον ἥκει τὸ γράμμα. Σὺ δὲ τῆς εὐγνωμοσύνης προςλαβὼν τὴν ὁλκὴν ἐπίτεινόν σου τὴν καλὴν ἐργασίαν· ἐκείνη γὰρ καὶ τῆς κατὰ τὴν νόσον ἀνάγκης χωρίς, ἀνάγκαις ἄλλαις νόσου πάσης ἀργαλεωτέραις συνέχεται, ἃς καὶ διεξέρχεσθαι μακρὸν, καὶ λυπηρὸν ἀναμιμνήσκεσθαι. Τῷ τοι καὶ ἀξιεπαινετωτέρα παρά τε Θεῷ φιλανθρώπῳ καὶ φιλοθέοις ἀνδράσιν ἡ θεραπεία, καὶ γερῶν ἀθανάτων ἀνάπλεως.

ΙΘ΄.

(ϞϚ΄)

Ἱππολύτῳ τῷ πανιερωτάτῳ πρώην Χίου σὺν τοῖς πανοσιωτάτοις ἡγουμένοις τῶν σεβασμίων μοναστηρίων, Νικηφόρῳ Ἀρκαδίου, Λαυρεντίῳ Βροντησίου, καὶ τοῖς εὐλαβεστάτοις ἱερεῦσιν, ἱεροδιακόνοις τε καὶ μοναχοῖς, μετὰ παντὸς τοῦ χριστωνύμου λαοῦ, ἀνδρῶν τε καὶ γυναικῶν τῆς θεοφυλάκτου Κρήτης, ἐν Κυρίῳ περιποθήτοις, χάριν, ἔλεος, καὶ εἰρήνην παρὰ τοῦ Κυρίου.

Γνωστή μοι καὶ πρώην πολλαχόθεν ἡ πρὸς ἡμᾶς τῆς ὑμετέρας εὐλαβείας ἀγάπη, ψυχαὶ φίλαι καὶ τίμιαι, ἧς τὴν ἀνάμνησιν ἀναφέροντες καὶ ἡμεῖς νύκτωρ τε καὶ μεθ᾽ ἡμέραν πρὸς τὸν φιλάνθρωπον Θεὸν στεναγμοῖς τισι κ᾽ οὐκ ἀνεκλαλήτοις διατελοῦμεν· ἐπιποθοῦμεν γὰρ ὁλοψύχως πάντας ὑμᾶς, ὁμοπατρίους τε ὄντας, τῆς τ᾽ εὐσεβείας

(1) Ματθ. κέ, 36.

τῆς αὐτῆς συγκοινωνούς, καὶ τρόπον τινὰ ἐξαίρετον τῶν ὅσους ἀφορᾷ διαφερόντως ταῖς τῆς ὀρθοδοξίας ἀκτῖσιν ὑπερλάμποντας, φίλους εἶναι Θεῷ τῷ παμβασιλεῖ, καὶ αὐτὸν ἱλέῳ τὰ καθ' ἡμᾶς ὄμματι διέπειν τὸν φιλάνθρωπον. Ἡ δὲ ἔναγχος ἐπὶ τῇ τῆς ἐμῆς ἀδελφῆς Εὐλογίας, τῆς μετονομασθείσης Εὐγενίας μοναχῆς, κηδείᾳ, τῆς ὑμῶν εὐλαβείας φιλανθρωπία, ὑπερνικᾷ μου πᾶσαν ψυχῆς κίνησιν· καὶ νῦν πρῶτον αἰσθάνομαι ἐμαυτοῦ οὐ μόνον ἀσθενῶς ἔχοντος πρὸς ἀμοιβὴν τῆς ἡμῶν ἀγάπης, ἀλλὰ καὶ πρὸς εὐχαριστίαν ἀποροῦντος. Ἦν γάρ μοι ἡ ἐμὴ Εὐγενία τῆς κατὰ γῆν συγγενείας τὸ λείψανον, καὶ τῶν ἐμῶν φροντίδων ἑσμός· γυνὴ γὰρ ἦν, καὶ συγγενείας ἁπάσης μεμονωμένη· ἀλλὰ καὶ αἱ ἡμέραι αὗται αἱ καθ' ἡμᾶς, ἡμέραι εἰσὶ πονηραί. Καθάπερ οὖν ὁ φιλάνθρωπος Θεός, πρὸ τοῦ βίου, τῶν τοῦ βίου φροντίδων, καὶ τῶν ἐν ἄστει διατριβῶν, ἔπειτα δὲ καὶ αὐτοῦ τοῦ βίου ἁρπάσας, εὐσεβῶς καὶ δικαίως πολιτευσαμένην αὐτήν, οὐ μόνον ἀπήλλαξε κινδύνων, ἀλλὰ καὶ ἀγαθῶν ἐνέπλησεν ἐλπίδων τῶν τὰς ἐπαγγελίας προαναφωνουσῶν, καὶ ἡμᾶς μεριμνῶν ἐστείρωσεν οὐδὲν ἧττον, καὶ παράκλησιν ἐνεποίησε φιλοθέοις ἀνδράσιν ἀνήκουσαν, τὸν αὐτὸν δὴ τρόπον καὶ ὑμεῖς, Κρῆτες ἐμοὶ οὐχ εὐνομώτατοι μόνον (καθὼς ὑμᾶς γεραίρουσι τῆς ἔξω σοφίας οἱ τρόφιμοι), ἀλλὰ καὶ τῆς ὀρθοδόξου πίστεως γνήσιοι παῖδες, παιδείας τε καὶ τῆς ἄλλης ἀρετῆς πεπληρωμένοι, τεθεραπεύκατέ μου τὰς ὀδύνας, τὰ σπλάγχνα, τὴν καρδίαν, κηδεύσαντες εὐσεβῶς γύναιον ὅσιον, συνέσεως καὶ παιδείας μεστόν, ἐμὴν μὲν ἀδελφήν, ὑμετέραν δὲ παῖδα. Ἀλλ' ὑμεῖς μέν, ὡς εὐσεβεῖς καὶ εὐγνώμονες πολῖται, τὰ πολίταις εὐσεβέσι καὶ εὐγνώμοσι προσήκοντα, πρὸς εὐσεβεῖς καὶ ὁσίους ἀφωσιώσατε· ἐμοὶ δὲ χρέος ἀπαραίτητον ἐνεποιήσατε πάσης εὐχαριστίας ὑπέρτερον. Ἀλλ' ἵνα μὴ τέως τὴν ὑμετέραν εὐεργεσίαν σιγῇ παρέλθωμεν, εὐχαῖς ἀμειβόμεθα καὶ πατρικαῖς εὐλογίαις. Δῴη ὑμῖν Κύριος ὁ Θεὸς τῶν οἰκτιρμῶν τὸν ἐπάξιον μισθὸν ἐν τῇ βασιλείᾳ τῇ οὐρανίῳ. Εἴητε εὐλογημένοι καὶ συγκεχωρημένοι παρὰ Πατρός, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος. Ἡ χάρις αὐτοῦ καὶ τὸ ἄπειρον ἔλεος προπορευέσθω, συμπορευέσθω καὶ ἐπακολουθήτω ὑμῖν· Ἀμήν. Ἔστω δὲ ὑμῖν, ἀδελφοί, παρακαλῶ, τῆς ἐμῆς Εὐγενίας ὁ θάνατος προπαίδειά τις εἰς τὸ καταμανθάνειν τὸ τοῦ βίου εὐμάραντον καὶ ὀξύρροπον. Γυνὴ ἐν ἀκμαζούσῃ τῇ ἡλικίᾳ, κάλλους, καὶ δόξης, πλούτου [ἴσ. *καὶ* πλούτου] καταφρονήσασα, φρόνημα

δὲ ἀντιμεταλαβοῦσα ἀνδρῷον, καὶ ἀντικαθισταμένη ταῖς ἐπηρείαις τῶν τοῦ βίου τερπνῶν, καὶ τὸν πολέμιον ἐν Χριστῷ νικήσασα, καὶ ταῦτα πρὸ ὀφθαλμῶν ὑμῶν πάντων, πάντας παρακαλείτω εἰς τὸν κατὰ Θεὸν βίον. Ὁδεύσωμεν πρὸς τὸ φῶς τοῦ Εὐαγγελίου, ἀδελφοί· εὐθύνωμεν τὰς ἡμετέρας ὁδούς· μὴ ἀνετοίμως διαμετρῶμεν τὸ παρὸν στάδιον τῆς ζωῆς· πῦρ διέλθωμεν τὸ τῆς μετανοίας, καὶ ὕδωρ τὸ κατανύξεως (τὰ καθάρσια τῶν ἁμαρτημάτων) μετὰ τὸ πῦρ ἐκεῖνο καὶ τὸ ὕδωρ τὸ μυστικόν. Μὴ μείνωμεν, παρακαλῶ, ἔξω τοῦ νυμφῶνος, ἢ παρθενίας ἐστερημένοι, ἢ παρθενίας ἀνέλαιοι. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος εἴη μετὰ πάντων ὑμῶν, πρεσβείαις καὶ ἱκεσίαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· τοῦ ἁγίου ἐνδόξου πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Μάρκου· τῶν ἐν ἁγίοις πατέρων ἡμῶν Πέτρου τοῦ ἱερομάρτυρος, Ἀθανασίου τοῦ μεγάλου, Κυρίλλου καὶ Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας, καὶ πάντων τῶν ἁγίων· Ἀμήν.

Κ'.

(ϛη')

Λαυρεντίῳ τῷ πανοσιωτάτῳ καθηγουμένῳ τοῦ μεγάλου Ἀντωνίου τοῦ Βροντησίου.

Ἐχάρην, εἰ καὶ μὴ πάνυ ἀλύπως, μαθὼν πρῶτον μὲν διὰ τῶν σῶν γραμμάτων, μετέπειτα δὲ καὶ διά τινων τιμίων ἀδελφῶν, τὴν ἐμὴν ἀδελφὴν Εὐλογίαν καταλελοιπυῖαν τὰ τοῦ βίου καὶ αὐθαιρουμένην μονήρη διαγωγήν, μετονομασθεῖσαν τ' Εὐγενίαν, καὶ αὐτὸν καταλελοιπέναι τὸν βίον, πολιτευσαμένην καὶ ἐν ἄστει, καὶ ἐν μοναστηρίῳ, οὕτως ὁσίως, ὥςτ' εἶναι τὰ κατ' αὐτὴν κρειττόνων ἐλπίδων ἀνάμεστα. Μηνύουσι γὰρ τὰ αὐτόθεν οὕτω, καὶ σοῦ γε ἐν πᾶσι τὴν εὐλάβειαν, τῇ ἐμῇ ἀδελφῇ ὡς ἰδίᾳ ὑπηρετήσασαν τὰ πρὸς Χριστιανῶν εὐλαβῶν καὶ φιλανθρώπων. Τοῦτο δὲ καὶ αὐτὴ ἐν τῇ διαθήκῃ καθωμολόγησεν ἡ τρισμακάριος, ἀνθ' ὧν σου καὶ τὴν εὐλάβειαν, καὶ δὴ τὴν ὁσιωτάτην σου ἀδελφήν, τὴν Εὐγενίαν τὴν μοναχήν, εὐηργέτησεν, ἃ δὴ καὶ ἐμφέρεται ἐν τῇ διαθήκῃ. Ταῦτα μὲν οὖν ἀναμαθών,

ἀδακρυτὶ μὲν οὐκ ἤνεγκα· πῶς γὰρ ἀδελφῆς διαφερόντως συνέσει, ὁσιότητι, καὶ τῇ ἄλλῃ ἀρετῇ διαπρεψάσης, φέροι τις ἂν στέρησιν ἀδάκρυτον; Ἡ δὲ χαρὰ τῆς ὁσιωτάτης τελευτῆς ὑπερενίκησε πᾶσαν λύπην, καὶ τὰς εὐχαριστ[ηρ]ίους ἐπέμψαμεν, καὶ οὐκ ἂν παυσαίμεθα πέμποντες τῷ φιλανθρώπῳ Θεῷ, τῷ ἐν ταὐτῷ καὶ τὴν ἀδελφὴν, καὶ ἡμᾶς εὐεργετήσαντι, ὡς οὐκ ἂν ἄλλως ἐπιθυμῆσαι τολμήσαιμεν ἄν. Σοὶ δὲ χάριν οἴδαμεν τῆς εἰς τὴν ἐμὴν Εὐγενίαν φιλανθρωπίας (1)· καὶ δὴ καὶ τὴν διαθήκην αὐτῆς κατὰ πάντα ἐρρῶσθαί τε καὶ κῦρος ἔχειν βουλόμεθα.

Τὰ κατὰ τὸν ὁσιώτατον καὶ πνευματικὸν τὸν κὺρ Ἰωάσαφ (προέγραφες γὰρ καὶ περὶ τούτου) τέλος ἔσχεν· οὐ μόνον γὰρ συνεχωρήσαμεν αὐτῷ (2), ἀλλ' οἷον καὶ ὑπεραπολογησάμενοι ἀθῶον ἐδείξαμεν, οὐδὲ τὸ πρότερον χαλεπήναντες ἀμέτρως. Σὺ δὲ γράφε περὶ ὧν ἂν χρήζῃς, καὶ οὐκ ἂν ἀποτεύξοιο δικαίας ποτὲ αἰτήσεως· πατρικὴν γὰρ ἀεὶ φιλοστοργίαν πρὸς τὴν σὴν εὐλάβειαν ἔχειν ἡμᾶς καὶ ἡ σὴ εὐλάβεια προτρέπεται. Ὁ Κύριος μεθ' ὑμῶν.

Ἐν Ἀλεξανδρείᾳ.

ΚΑ'.

(ϛθ')

Νικηφόρῳ καθηγουμένῳ τῆς μονῆς Ἀρκαδίου.

Ἐγνώρισάν μοι τινές σου τὴν εὐλάβειαν, τέκνον ποθεινότατον, σεμνύνουσαν τὰ κατὰ τὴν κηδείαν τῆς ἐμῆς ἀδελφῆς λόγοις ἐπιταφίοις, πρὸς τῇ παρουσίᾳ (3) καὶ τῇ πομπῇ, καταφαιδρῦναι τὸν ἱερὸν ἐκεῖνον σύλλογον, ἀφικνουμένην καὶ μέχρι τῆς ἡμῶν οὐδενείας ταῖς εὐφημίαις. Θαυμαστὸν οὐδὲν τὴν ἱεράν σου ψυχὴν, ὀργάνῳ χρησαμένην παναρμονίῳ τῇ χρυσῇ γλώττῃ, μετεωρῖσαι τὰ καθ' ἡμᾶς, τοῖς

(1) Τὸ χειρόγρ. φιλανθρωπίαν.

(2) Βλέπε τὸ συγχωρητικὸν γράμμα, ὅπερ ἔσχατον τάττομεν ἐν τῇ δε τῇ συλλογῇ, φερόμενον ἐν σελ. α' τοῦ 54 φύλλου τοῦ Πατμιακοῦ τεύχους. Ἐπειδὴ δὲ συμπεριείληπται καὶ τοῦτο ἐν τῷ τεύχει τῶν τοῦ μακαρίου Πηγᾶ ἐπιστολῶν, δῆλον ὅτι παρ' αὐτοῦ καὶ συντέθειται.

(3) Ἐχρήσατο τῇ λέξει συνῳδὰ τῇ παρὰ τῇ κοινῇ συνηθείᾳ σημασίᾳ.

λειψάνοις ἐντυχοῦσαν τῆς ἡμετέρας πηγῆς (1). Ἐμοί, κ᾽οὐδὲ πάμπαν ἄκοντι, γένους λείψανον ἦν ἡ Εὐγενία, φυσικῇ τάξει ἐσχάτη, πρώτη τῇ ἀξίᾳ, καθὰ δὴ ἀπήλεγξε τὸ τέλος ἐπισφραγισάμενον τὸ τοῦ βίου μακάριον· πρὸ γὰρ τελευτῆς, ὡς καὶ Σολομῶντι δοκεῖ (2), ἐπικίνδυνον· Αἰεὶ γὰρ (κατὰ τὸν φήσαντα (3)),

Αἰεὶ δ᾽, ἀμφ᾽ ἀρεταῖσι πόνος δαπά-
[να τε] μάρναται πρὸς
Ἔργον κινδύνῳ κεκαλυμμένον.

Καὶ νῦν κρείττονος μεταλαχοῦσα βιοτῆς, ἡμᾶς μὲν ἐν ὑποπτέρῳ λύπης (4), οὐ τῆς τυχούσης ἐνέπλησεν εὐφροσύνης, ὕλην δὲ παρέσχεν ὑμῖν, τὸ τῆς σιγῆς συστείλαντας παραπέτασμα, τῆς ἀγάπης ἐμφῆναι τὸ ὑπερκαές. Ἀλλ᾽ ἡμεῖς μὲν εὐχαριστοῦμέν σου τῇ φιλοκἀγαθίᾳ· σὺ δὲ παρὰ Θεοῦ τοῦ παμβασιλέως τὴν ἐπάξιον προςδέχου ἀμοιβήν.

Ἔρρωσο, τιμιώτατον τέκνον ‚ζρδ᾽ [† 1596].

ΚΒ΄.

(ρ΄)

Λαυρεντίῳ ἱερομονάχῳ.

Γράφειν σοι, τυχὸν, περιττὸν περὶ τῆς μακαρίας Εὐγενίας, ἣν τιμητέον καὶ μετὰ θάνατον, ἐπεὶ καὶ προτοῦ τετιμήκατε. Ἔχετε τοίνυν, ἃ κατέλιπεν ὑμῖν διαθεμένη σὺν ἡμετέρᾳ εὐχῇ. Ἔχετε καὶ τὸ ἐπιτάφιον τουτὶ, ὃ λίθῳ αὐτοσχεδίῳ ἐγκολάψατε, τὰ κατ᾽ αὐτὴν πρὸς αὐτῆς ἐπιτραπέντες διοικεῖν· καὶ μή μοι νόμιζε μισθὸν εἶναι τῶν ἡμετέρων (5) καμάτων τὰς παρ᾽ ἐκείνης ἀφεθείσας εὐεργεσίας (ἔνδειξίς ἐστι τῆς μακαρίας ἐκείνης ψυχῆς, ὡς οἱόν τ᾽ ἦν ἀνακηρυττούσης τὴν ὑμῶν ἀγάπην μετ᾽ εὐγνωμοσύνης οὐκ ἀκάρπου), ἀλλὰ παρὰ Θεοῦ,

(1) Αἰνίττεται χαριέντως τὴν οἰκείαν ἐπωνυμίαν.
(2) Ἄδηλον ἔμοιγε οὖν τίνα τοῦ Σολομῶντος ῥῆσιν ὑπαινίττεται ἐνταῦθα.
(3) Πίνδ. Ὀλ. Ε΄, 34—36.
(4) Ἐλλιπὴς δοκεῖ ὁ λόγος· ἴσως δὲ καὶ τό: λύπης ἐγέγραπτο κατὰ δοτικήν.
(5) Γρ. ἴσ. ὑμετέρων.

εἰς ὃν ἀνατρέχει πᾶσα τῶν ἡμετέρων ἀγαθοποιῶν εὐωδία, τὴν ἀντάμειψιν προςδόκα.

Ἐπίγραμμα ἐντάφιον εἰς τὴν αὐτοῦ ἀδελφὴν Εὐγενίαν μοναχήν, ὅπερ ἐνεκόλαψαν ἐπὶ τὸν τάφον αὐτῆς :

Οὐ θάνες, Εὐγενίη γ', οὐ κάτθανες, ἀλλὰ καθεύδεις,
Κουριδίη Χριστοῦ, οὐρανίοις θαλάμοις.
Τοὔνεκά σοι δακρύων οὐ χεύομεν, ἀλλὰ λιτάων
Λοιβὰς, ὀλυμπίοις ἁρμοδίους χορείαις.
Δέρκεο ὃν πόθεες πανακηράτῃσιν (1) ὀπωπαῖς,
Σαῖς τ' εὐχωλῇσιν ἵλαον ἄμμι πόροις.

ΚΓ'.

(ρα')

Τοῖς κατὰ πᾶσαν τὴν λαμπροτάτην Κρήτην εὑρισκομένοις ἔλεος καὶ εἰρήνην.

Τὰς τῶν εὐσεβῶν διαθήκας, κατὰ νόμον γεγενημέας, κῦρος ἔχειν καὶ αὐτοὶ θεσπίζουσιν οἱ νόμοι, καὶ τὸ δίκαιον ἀπαιτεῖ. Διὸ δὴ καὶ τὴν τῆς ἡμετέρας ἀδελφῆς, τῆς κατὰ κόσμον Βενέτας, τουτέστιν Εὐλογίας, καὶ κατὰ τὴν μοναχικὴν τάξιν μετακληθείσης Εὐγενίας μοναχῆς, τουτουὶ τοῦ τε νομίμου καὶ τοῦ δικαίου πάσαις ἀνάγκαις δίκαιον εὐμοιρεῖν. Ἀλλὰ καὶ αὐτοί, πεμφθεῖσαν (2) παρὰ τῶν ἐπιτρόπων τε καὶ κληρονόμων ἀναγνόντες, ὡς εὖ καὶ νομίμως ἔχουσαν ἐπικυροῦμεν τῇ αὐθεντίᾳ τοῦ ἡμετέρου τοῦδε γράμματος. Εἰ γὰρ καὶ προϋπήρχομεν κεχαρικότες (3) πᾶν ὁτιοῦν ὁπωςδήπως ἡμῖν ἀνῆκον ἐκ πατρικῆς, ἢ μητρικῆς, ἢ ἀδελφικῆς κληρονομίας τε καὶ διαδοχῆς, αὐτῇ, ἀδελφῇ τε οὔσῃ καὶ ὁσίως πολιτευομένῃ, ἐφ' ᾧ καὶ κατὰ νόμον ὡς ἐπ' ἰδίοις διέθετο, ἀλλά γε καὶ τούτῳ τῷ ἡμετέρῳ πατριαρχικῷ γράμματι ἐπικυροῦντες βεβαιούμεθα, βουλόμενοι καὶ διακελευόμενοι

(1) Γρ. ἴσ. πανακηράτοισιν.
(2) Τὸ χειρόγρ. πεμφεῖσαν.
(3) Κἀνταῦθα ἐχρήσατο τῇ λέξει χυδαϊκώτερον.

ἐν ἁγίῳ Πνεύματι κατὰ πάντα κρατεῖν τὴν διαθήκην ταύτην τῆς ἡμετέρας ἀδελφῆς, τοῦτο ἔσχατον γέρας καὶ τιμὴν τῇ ἐσχάτῃ διαθέσει αὐτῆς ἀπονέμοντες, ἐσχάτης ὑπαρξάσης καὶ αὐτῆς τοῦ ἡμετέρου γένους τῶν Πηγᾶ. Ἔσται (1) δὲ τὸ γράμμα οὐ μόνον τῇ ἡμετέρᾳ χειρὶ ἠσφαλισμένον, ἀλλὰ καὶ τῷ ἀποστολικῷ σημείῳ ἐσφραγισμένον εἰς ἀληθείας τοῖς μετέπειτα ἔνδειξιν, ὥςτε κατ᾽ οὐδὲν κωλύεσθαι τοὺς κληρονόμους τῆς κληρονομίας ἐπιτυχεῖν.

Ἐν Ἀλεξανδρείᾳ ,ζρδ΄. [† 1596].

ΚΔ΄.

(ρκδ΄)

Εὐγενίᾳ μοναχῇ.

Τῇ πανοσιωτάτῃ καθηγουμένῃ τοῦ μεγάλου Ἰωάννου, λεγομένου Μεσαμπελίτη, Εὐγενίᾳ τῇ Μαρινοπούλῃ σὺν ταῖς λοιπαῖς ἀδελφαῖς, ταῖς ἐν Κυρίῳ θυγατράσι τιμίαις, χάριν, ἔλεος καὶ εἰρήνην. Ὅτι μὲν τὴν ἐμὴν ἀδελφὴν Εὐγενίαν, τὴν μακαρίαν ἐκείνην καὶ τριςοσίαν, δεξάμεναι φιλανθρώπως, ἐκηδεύσατε μετὰ θάνατον ὁσίως, ἕξετε τὸν ἐπάξιον μισθὸν παρὰ τοῦ φιλανθρώπου Θεοῦ. Καὶ αὐτὴ δὲ ἡ μακαρία προλαβοῦσα διὰ τῆς διαθήκης εὐγνωμόνως ὑμᾶς (2) εὐηργέτησε καὶ τὴν ἁγίαν μονήν, διανείμασα πάντα τὰ λοιπὰ πτωχοῖς τε καὶ πνευματικοῖς. Ὅτι (3) καὶ ἡμεῖς βεβαιώσαντες τὴν διαθήκην αὐτήν, ἔτι καὶ ὀφείλομεν τοιαύτῃ ἀδελφῇ, οὕτως ὁσίως καὶ βιωσάσῃ, καὶ τελευτησάσῃ, μνημόσυνον ἀτελεύτητον, γνωρίζομεν· καὶ δὴ καὶ καθ᾽ ἑκάστην μνημονεύεται ἐν τῇ ἀποστολικῇ ταύτῃ καθέδρᾳ, καὶ εἴη γε τὸ μνημόσυνον αὐτῆς ἐνώπιον Θεοῦ σὺν εὐφημίᾳ, καὶ ἡ ψυχὴ αὐτῆς ἐν σκηναῖς δικαίων. Ἐπειδὴ δὲ ηὔφρανεν ἡμῶν τὴν καρδίαν ἀσπασαμένη τὴν ἀσκητικὴν ζωήν, καὶ ἀπαρνησαμένη τὰ τοῦ βίου, εἰς μνημόσυνον αὐτῆς, καὶ ἵνα ἴδωσιν ὅσαι βούλονται εὐσεβῶς ζῆν, οἵων τυγχάνουσιν ἀγαθῶν καὶ παρὰ Θεῷ καὶ παρὰ εὐσεβέσιν ἀνθρώποις, πέμπομεν τὴν παροῦσαν φωταγωγὸν ἀργυρόχρυσον, ἵνα κρεμαμένη πρὸ

(1) Γρ. ἴσ. Ἔστι.
(2) Τὸ χειρόγρ. ἡμᾶς.
(3) Γρ. Ὅτι δέ.

τῆς εἰκόνος τοῦ Σωτῆρος ἡμῶν τὴν Εὐγενίαν μνημονεύῃ. Ἔστω δὲ, παρακαλῶ, ἀναπόσπαστος, καὶ μόνῳ Θεῷ ἱερωθεῖσα, ἢ καὶ γενομένης ἀνάγκης, καὶ τοῖς πτωχοῖς. Μηδεὶς δὲ τολμησάτω ἐπ' ἐπιτιμίῳ ξενῶσαι αὐτὴν τῆς μονῆς, εἰ μήπου, ὡς ἔφην, ἀνάγκη τύχοι πτωχῶν ἢ αἰχμαλώτων. ,ζρδ' [† 1595].

ΚΕ'.

(σ. 740)

(Θρῆνος εἰς τὸν Κωνσταντινουπόλεως πατριάρχην Ἱερεμίαν τὸν Β'.)

Φεῦ· ὅς πάρος ἐσπούδαζον ἐπῶν περὶ σύνθεσιν
Ἡδέων, ᾆσμα προῆγμαι νῦν γοερόν τι πλέκειν.
Δὴ γάρ μοι μέλεαι μελετῶσι τὰ γραπτέα Μοῦσαι,
Ἀψευδῶς ἔλεγον δάκρυσι τεγγομένῳ.
Οὐδὲν γὰρ καὶ τάς δε κατηγωνίσατο τάρβος (*).

Οὕτω κἀμὲ γὰρ χρεὼν ἐν τῷ παρόντι προοιμιάσασθαι (1). Ἀλλὰ πόθεν τανῦν τοῦ θρήνου ἀπάρξομαι; συγχέει γάρ μου τὸν λογισμὸν τὸ τοῦ δυστυχήματος μέγεθος. Πῶς μου ἡ γλῶττα τῷ λόγῳ ἐξυπερετήσειεν ἀμογητί; Πῶς δ' οἱ ὀφθαλμοὶ δακρύων ἄνευ; Πῶς δέ γε καὶ ἡ καρδία ὅλη ὑποτρέμουσα, τῇ ἄγαν οὕτω λύπῃ βαρυνομένη; Ὅμως οὐ μόνῳ μοι προσήκει νῦν τὸ θρηνεῖν, ἀλλὰ τῷ τῶν Ῥωμαίων δυστυχεῖ παντὶ γένει. Διό μοι συνεργοῦντες καὶ ἀναμιμνήσκοντες, ἢ καὶ ἀναπληροῦντες εἴ τι παρήειν, ἢ τῶν τοῦ κειμένου ἀγαθῶν, ἢ τῶν ἡμετέρων δυστυχιῶν (ταῦτα γάρ τε κἀκεῖνα λεκτέα ἂν εἴη ἐν τῷ παρόντι, ἵν' οἷς τ' ἐμπεπτώκαμεν γνῶμεν, καὶ ὧν περ ἐστερήθημεν λάβωμεν αἴσθησιν·), συνθρηνήσατε θρηνοῦντι Ῥωμαίων ἅπας ὁ δυστυχέστατος σύλλογος· κοινὸς γὰρ ὁ παρὼν ἐστι θρῆνος, εἴπερ καὶ ἡ

(*) Τὸ ἐπίγραμμα τοῦτο ἀντέγραψα ἀπαραλλάκτως ὡς ἔχει ἐν τῷ χειρογράφῳ, ἐῶν τοῖς κρείττοσί μου τὴν διόρθωσιν αὐτοῦ. Οὐ γάρ ἐστιν ὁ Θρῆνος ὅδε τοῦ μακαρίου Πηγᾶ ἰδιόγραφος, ἀλλ' ἀντιγραφέως ἀμαθοῦς.

(1) Δῆλον ἐκ τούτου ὅτι παρ' ἄλλου τινὸς μετείληπται τὸ ἐπίγραμμα, ἔμοιγε οὐν ἀδήλου.

δυςτυχία κοινή. Ἡ συμφορὰ κοινή. Φεῦ, φεῦ! Οἴμοι· πολλαὶ καὶ μεγάλαι αἱ τῷ ἀθλίῳ ἡμῶν ἐπισκήψασαι γένει συμφοραί τε καὶ δυςτυχίαι· φημὶ δή, ἡ τῆς βασιλείας καθαίρεσις· ἡ τῆςδε τῶν πόλεων βασιλίδος πικροτάτη ἅλωσις· οἱ τοῦ γένους καθ' ἑκάστην, ὡς εἰπεῖν, πολυειδεῖς διωγμοὶ καὶ κακώσεις· ἡ τῆς Ἐκκλησίας ταπείνωσις καὶ δουλικὴ παρά τε τῶν οἰκείων καὶ τῶν ἀλλοτρίων καταφρόνησις, καὶ ὡς ὠνητοῦ ἀπεμπόλησις δούλου· ἡ τῶν λογάδων ἀπόκρυψις. Ἐντεῦθεν παντελὴς τοῦ λόγου ἀμαύρωσίς τε καὶ ἔκλειψις, καὶ πλεῖστ' ἄλλαι, ἃς ἐκτραγῳδῆσαί τις οὐκ ἐξισχύσειεν ἄν. Ἀλλ' ἡ νῦν δυςτυχία τὰς προγεγενημένας ἐκείνας πάσας δεινῶς ὑπερῆρεν, ὡς ὁ σφοδρότατος τὸν ἐλάσσονα πόνος. Ἔνθεν τοι καὶ πρὸς τὸ μηδὲν τελείως ἥκει τὸ γένος, ἐπεὶ πρότερον μέν, εἰ καὶ δυςτυχοῦν ἐτύγχανε, νῦν μὲν ἐπὶ πράγμασι, νῦν δ' ἐπ' ἀνδράσι γενναίοις τε καὶ σπουδαίοις, καὶ ἐπ' ἄλλῃ τινὶ εὐδαιμονίᾳ· ἀλλὰ διαδοχῇ τινι μικρῶν λειψάνων πρὸς τὰς ἐπερχομένας δυςτυχίας ἀπήντα πως, ᾗ ὁ πᾶς δῆμος περιφρουρούμενος ἦν· νῦν δὲ οὐδείς, ὡς οἶμαι, τὴν τούτου προστασίαν μετὰ τὸν κείμενον τόνδε διαδεξόμενος ὑπολέλειπται, ἀλλὰ πρὸς ἀφάντωσιν τελείαν τά γε ἄλλα ἡμῶν, τὰ τῆς Ἐκκλησίας δὲ μάλιστα, οἴμοι, ἐλεεινῶς ἀφορᾷ· εἰ μὴ σὺ Κύριε, Κύριε, δύναμις τῆς σωτηρίας ἡμῶν, τῇ ἐμφύτῳ σου δυςωπούμενος ἀγαθότητι, ἡμῖν τοῖς κατακρίτοις καὶ ἀχρείοις σοῖς δούλοις χεῖρα βοηθείας ὀρέξειας. Ὁρᾷς, Κύριε, τὴν ἡμῶν καταστροφὴν ὅση; *Ὅμως δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν, καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθεῖς* (1), καὶ κρίματα ἀληθείας ἐποίησας κατὰ πάντα, ἃ ἐπήγαγες ἡμῖν καὶ ἐπὶ τὴν πόλιν ταύτην τὴν βασιλίδα τῶν πόλεων τῶν πατέρων ἡμῶν· ὅτι ἡμάρτομεν καὶ ἠνομήσαμεν, καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν. Διὸ ἐνδίκως παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων, ἀποστατῶν, καὶ τυράννῳ τούτοις παραπλησίῳ. Ἀλλά, *Μὴ παραδῴης ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου καὶ τὸ ἔλεός σου ἀφ' ἡμῶν· ὅτι ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, καὶ ἐσμὲν ταπεινοὶ σήμερον διὰ τὰς ἁμαρτίας ἡμῶν* (2). Καὶ ταῦτα μὲν οὕτω.

Τὰ ἡμῶν τοίνυν, ὦ ἄνδρες, νῦν εἴ πέρ ποτε θρήνου ἄξια· εἰς ἀφανισμὸν γὰρ ἀφορᾷ παντελῆ, τὰ τῆς Ἐκκλησίας γε μάλιστα. Ὃν γὰρ

(1) Παρὰ τὸ τοῦ Ψαλμῳδοῦ ριή, 137.
(2) Εἴληπται ἐκ τοῦ Ὕμνου τῶν Τριῶν Παίδων [Δαν. γ', 23].

ὑπεραγωνιζόμενον αὐτῆς εἴχομεν, τοῦτον ἄπνουν καθορᾶν ἐστὶν ἡμῖν προκείμενον πᾶσιν. Ἐστερήθημεν τοῦ καλοῦ ποιμένος καὶ μιμητοῦ τοῦ καλοῦ ἀρχιποίμενος. Φεῦ τῆς ζημίας! οἴμοι τῆς δυςτυχίας καὶ τῆς πολλῆς συμφορᾶς. Νῦν παντελῶς πεπηρώμεθα. Νῦν τὴν συμφορὰν ὁλόκληρον ἔχομεν· ἕνα γὰρ ὀφθαλμὸν ἀντὶ πολλῶν εἴχομεν, τὸν προκείμενον, καὶ τοῦτον νῦν ἐλεεινῶς ἐξεκόπημεν. Βραχεῖ τινι λόγου λειψάνῳ ἦμεν ἐγκαλλωπιζόμενοι, καὶ τοῦτο φεῦ, ἀπεβαλόμεθα νῦν. Φεῦ τοῦ πάθους! Σεσίγηκεν, ὦ σύστημα ἱερὸν, ἡ καθ' ἑκάστην ὑπὲρ ἡμῶν ἀγωνιζομένη γλῶττα· πάντα λαβοῦσα ᾤχετο τ' ἀγαθά. Φεῦ τῆς ὀρφανίας, ἥτις ἡμᾶς περιεστοίχισε! Φεῦ τῆς ζάλης! Τίς τὴν ἡμῶν διαδέξαιτο προστασίαν; Τίς τὴν τοῦ γένους ἡμῶν ἐν τῷ παρόντι πενίαν παραμυθήσαιτο; Ἀλλ', ὦ δέσποτα, τί τοῦτο ἡμῖν πεποίηκας; ἔξεστι γὰρ ἡμῖν συνδιαλεχθῆναί σοι τῷ παρόντι· τί τοῦτο πεποίηκας; πῶς ὀρφανοὺς ἡμᾶς καταλέλοιπας; τίνι τὴν ἡμῶν ἐπέτρεψας προστασίαν; Ἰδοὺ γάρ σοι παρίστανται τὰ τέκνα· τὴν ἀπὸ σοῦ διδαχὴν ἀναμένουσιν. Ἀνάπτυξον οὖν τὰ χείλη, ὦ δέσποτα, καὶ τοῖς σοῖς λόγοις δὸς τέκνοις ποθοῦσι τῆς σῆς ἀκοῦσαι φωνῆς. Τίς μετὰ σὲ, δέσποτα, πατὴρ ἡμῖν ἀναφανείη; τίς ἐξισωθείη σοι τὰ τῶν ἀγαθῶν πλεονεκτήματα, ἅπερ ἐνῆν σοὶ μόνῳ, οὐ τῶν ἐν τοῖς παροῦσι λέγω καιροῖς, τολμῶ δ' εἰπεῖν κἀν τοῖς τῶν πάλαι; Σοῦ γὰρ ἐπὶ τὸν πατριαρχικὸν θειότατον (1) ἀναβάντος θρόνον, τί τῶν ἀγαθῶν ἡμῖν οὐκ ἐγένετο, τῶν δόξαν καὶ πολλὴν παρρησίαν παρεχομένων. Ἡ ἡμῶν ἐλαμπρύνθη εὐσέβεια ἐν τοῖς ἐσχάτοις τούτοις καιροῖς, καίπερ ἐν μέσῳ οὕτω τῶν ἀκανθῶν ἐνυπάρχουσα, τῶν τῇ καθ' ἡμᾶς ἀντικαθισταμένων ἀληθείᾳ φημί (2). Τῶν θείων τῆς τοῦ Χριστοῦ Ἐκκλησίας μυστηρίων τὸ κλέος ὑψώθη. Παρρησίαν ὅτι πολλὴν τὸ εὐσεβὲς τοῦ Χριστοῦ εἴληφε ποίμνιον. Ἀλλ' ὅσης τότε χαρᾶς καὶ εὐφροσύνης ἡμᾶς ἐνέπλησας, τοσαύτης ἢ καὶ πλείονος νῦν ἐπλήρωσας ἀθυμίας καὶ κατηφείας πολλῆς, δακρύων, οἰμωγῶν, στεναγμῶν ἀφορήτων. Πῶς γὰρ οὐ θρηνήσομεν τὸν πατέρα, τὸν καθηγεμόνα, τὸν ἄκρως ἀρχιερέα καὶ ποιμένα ἡμῶν, μᾶλλον δ' ἡμᾶς αὐτούς. Πῶς οὐ ταλανίσομεν τῆς ὀρφανίας, τῆς δυςτυχίας, τῆς ζημίας. Πῶς οὐ γῇ καὶ σποδῷ τὰς ἡμῶν

(1). Τὸ χειρόγρ. **ἐπὶ τοῦ πατριαρχικοῦ θειότατον.**

(2) **Ὑπαινίττεται ἴσως τὰς πρὸς τὸν Ἱερεμίαν δογματικὰς ἐπιστολὰς τῶν ἐν Τυβίγγῃ Λουθηρανῶν θεολόγων.**

καταπασσόμεθα κεφαλάς. Ἧς γὰρ παραμυθίας ἀπολαύοντες ἦμεν, καὶ ἐφ' ᾗ τὰς ἐλπίδας ἐσαλεύομεν μόνῃ, ταύτης ἐλεεινῶς ἐστερήθημεν. Φεῦ, φεῦ! ὦ δέσποτα, οὐ παραμυθεῖς τὸν ποτὲ καὶ νῦν ἴσως προςφιλέστατον; οἴμοι, σεσίγηκεν ἡ ῥήτορος γλῶσσα, ἥτις ὑπὲρ μάχαιραν δίστομον ἦν ἐκθερίζουσα τὰς τῶν ἀσεβούντων φρυγανώδεις γλωσσαλγίας· ἡ εὐκέλαδος, ἣν οἱ ῥήτορες μὲν λόγοι διεγύμνασαν, τὰ τῆς φιλοσοφίας δὲ δόγματα κατεκόσμησαν, ἡ τοῦ θείου δὲ Πνεύματος χάρις εὖ μάλα θήξασα διεστόμωσεν. Οἴμοι ὁ τῆς σοφίας τρόφιμος τὰ χείλη κατέκλεισε· τὸ θεολόγον στόμα κατησφαλίσθη. Τί τοῦτο τὸ φρικῶδες μυστήριον, δέσποτα; οὕτω τῆς πυρὸς πνεούσης μένος ῥητορείας ὁ θάνατος ἐπικρατέστερος· οὕτω τῆς οὐρανομήκους καὶ οὐρανοδρόμου φιλοσοφίας καταφρονητὴς ἀναιδέστατος· οὕτω τοῦ θεολόγου στόματος ἐπιπλήκτης ἰταμώτατος. Φεῦ τοῦ παραδόξου μυστηρίου! Φεῦ, πῶς παρεδόθημεν τῇ φθορᾷ! Φεῦ, πῶς συνεζεύχθημεν τῷ θανάτῳ! οἴμοι, παναγιώτατε δέσποτα. Ὁ λαὸς ὁ σὸς, τὸ σὸν ποίμνιον, τὰ τέκνα τὰ σὰ παριστάμενα τὴν σὴν ἀναμένουσιν εὐλογίαν. Εὐλόγησον αὐτοὺς τοίνυν κἀμὲ ἀνασχὼν τὴν τιμίαν σου χεῖρα μυστικῶς· τὰ χείλη διάρας τοῖς σοῖς τέκνοις εἰρήνην πρόςειπε. Αἶ αἶ τοῦ πάθους! Ἀλλ', ὡς ἔοικε, νῦν ἥκιστα φροντίζεις ἡμῶν, βαρυνθεὶς ταῖς καθ' ἑκάστην τῶν πειρασμῶν προςβολαῖς, ἃς ἐκ τῶν οἰκείων ἀδίκως καθυπέστης καὶ ξένων. Εἰ δ' οὐχ ἡμῖν λόγον δίδως, τοῖς τῇ ἀληθείᾳ δ' ἀντικαθισταμένοις ἀναστὰς διαλέχθητι· ἀπόδειξον τὸ τῆς εὐσεβείας ἡμῶν κεφάλαιον· ἐπιχείρησον κατ' αὐτῶν ἐπιστημονικώτατά τε καὶ γενναιότατα, ὡς εἰώθεις· ἄρκεσον ἡμῖν· ἐπάρκεσον κινδυνεύουσι. Φεῦ! οἵου καλοῦ ἐστερήθημεν, σοφίᾳ μὲν τὴν ψυχὴν κεκοσμημένου, εὐγλωττίᾳ μὲν [ἴσ. *δὲ*] λαμπρυνομένου, κάλλει δ' ὡς ἑνὶ τῶν ἀγαθῶν περιαστραπτομένου, ἁπλῶς πᾶσιν ἀγαθοῖς καταπεποικιλμένου. Ὦ, ὦ τοῦ πάθους! οὐ δύναμαι τῆς συμφορᾶς θρηνῆσαι τὸ μέγεθος· ἐκλείπει μου ἡ ἰσχύς· βύω τῇ λύπῃ τὸ στόμα.

Ἀλλὰ σὺ μὲν, πατριαρχῶν ἄριστε, *τὸν δρόμον τετελεκὼς καὶ τὴν πίστιν τετηρηκὼς, τοῦ στεφάνου τῆς νίκης ἐπέτυχες* (1). Ἡμεῖς δὲ φεῦ! εἰς οἷον κλύδωνα καὶ ζάλην ὀρφανίας ἐμπεπτώκαμεν, σοῦ τοῦ γλυκυτάτου πατρὸς καὶ καθηγητοῦ στερηθέντες. Ἀλλὰ μὴ ἐάσῃς τέλεον ἡμᾶς ὀρφανούς· εἰ γὰρ καὶ τὸ σῶμα τέθνηκας, ἀλλὰ τὴν ψυχὴν

(1) Α' Τιμ. δ', 7—8.

ἐν τῷ τῶν δικαίων ζῆς καταλόγῳ· ἐν οὐρανοῖς εἰς τὸν αἰῶνα καὶ ἐν Κυρίῳ σοι ὁ μισθός. *Δίκαιοι γὰρ εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν*, καὶ τὰ ἑξῆς, τὸ Σολομώντειον φησὶν ἔπος (1). Διὸ σώζοις καὶ φυλάττοις ἡμᾶς ἄνωθεν ταῖς εὐχαῖς σου τῶν ἐπερχομένων ἀνιαρῶν ἀνωτέρους.

Κϛ'.

Ἴσον γράμματος συγχωρητικοῦ.

Ἱερεμίας ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικός.

Ὁσιώτατε ἐν ἱερομονάχοις καὶ πνευματικοῖς πατράσι παπᾶ Ἰωάσαφ, υἱὲ ἀγαπητὲ τῆς ἡμῶν μετριότητος, ἡ μετριότης ἡμῶν εὔχεται καὶ εὐλογεῖ τὴν σὴν λογιότητα. Ἐπειδὴ ἐμάθομεν ὅτι ἡ κατὰ σοῦ διαβολὴ ψευδὴς ἦν (οὐ γὰρ σὸν ἦν, ἀνδρὸς εὐλαβοῦς καὶ λογίου ἀντιλέγειν πατριαρχικαῖς ἀποφάσεσι, δικαίαις τε οὔσαις καὶ ἀναγκαίαις τῇ ἀσθενείᾳ τῆς καθ' ἡμᾶς γενεᾶς), ἀλλ' εἴγε καί τι παρὰ τὸ δέον ἐξήμαρτες, αἰτοῦντά γε συγχώρησιν ἀποδεχόμεθα ἡμεῖς τε καὶ ὁ Ἀλεξανδρείας, ὁ ἡμέτερος ἀδελφὸς καὶ συλλειτουργός. Πρὸς τίνος γὰρ ἂν καὶ ἀνοιγείη τῆς φιλανθρωπίας καὶ συμπαθείας ὁ θησαυρὸς οἰκειότερον, ὅτι μὴ παρὰ τῶν εἰληφότων τὰς ἱερὰς κλεῖς εἰς τὸ δεσμεῖν τε καὶ λύειν τὰς τῶν ἀνθρώπων ἁμαρτίας; Ἔχομεν οὖν σου τὴν εὐλάβειαν διὰ τοῦ παρόντος συγχωρητικοῦ γράμματος εὐλογημένην καὶ συγκεχωρημένην παντὸς δεσμοῦ τε καὶ ἀργίας καὶ ἐνοχῆς, ἐξόχως δὲ τῆς διὰ τῶν ἡμετέρων γραμμάτων ἐπενεχθείσης σοι ἐπιτιμήσεώς τε καὶ δεσμοῦ. Οὕτως ἐν ἁγίῳ ἀποφαινόμεθα Πνεύματι. Ἱερούργει τοίνυν μετὰ τῆς προσηκούσης εὐλαβείας· κήρυττε τὸν τῆς ὀρθοδόξου θεολογίας εὐσεβῆ λόγον· πάντα πράττε ἀκωλύτως τὰ ἱερεῦσι, καὶ πνευματικοῖς, καὶ διδασκάλοις τῶν ὀρθοδόξων προσήκοντα. Ἐπὶ γὰρ τούτῳ καὶ τὸ παρόν σοι πέμπεται συγχωρητικὸν γράμμα, ὅ σοι καὶ παρὰ Θεῷ καὶ παρὰ ἀνθρώποις τῆς ἀφοσιώσεως ἔσται σύμβολον καὶ ἐκσφράγισμα. Τὸ δὲ ἔλεος τοῦ Σωτῆρος εἴη μετὰ σοῦ.

(1) Σοφ. ε, 16.

ΕΠΙΓΡΑΦΗ ΠΕΡΙ ΠΥΡΟΣ ΤΟΥ ΚΑΘΑΡΤΗΡΙΟΥ ΚΑΙ ΠΕΡΙ ΤΩΝ ΕΙΚΟΝΩΝ ΕΝ ΝΑΟΙΣ.

ΣΥΓΓΡΑΦΗ ΛΟΥΤΗΡΩΝ. 1589 ΙΩΑΝΝΗΣ ΡΑΣΒΑΝΟΣ.

Τῷ σοφωτάτῳ Ἱερεμίᾳ πατριάρχῃ Κωνσταντινουπόλεως Ἰωάννης Ῥάσβαρος (sic).

Προσφωνέω σε, σοφώτατε πατριάρχη, συγγραφῇ μου οὐκ ἐν τέχνῃ οὐδὲ σοφῶς γεγραμμένῃ, ἀλλ' οὐκ ἀκαίρῃ. *Δύο* γὰρ *ποιητέον καιροὺς τοῦ λέγειν*, φησὶν Ἰσοκράτης παῖς Θεοδώρου ἀρχιερέως, *ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν· ἐν τούτοις μόνον* (1) *ὁ λόγος τῆς σιγῆς κρείττων*. Ἐγὼ γὰρ νῦν ταῦτα ἔγραψα περὶ ὧν φανερῶς ἐξ ἁγίων Γραφῶν γινώσκω, ὅτι εὑρήματα ἀνθρώπων, ὧν φυσικῶς σεσοφισμένους μύθους καὶ κόσμον κόσμου τούτου στέργειν ἐστὶ, καὶ περὶ ὧν ἀναγκαῖον εἰπεῖν ἦν, ὅτι με ὁμολογία (2) περὶ τούτων γράψαι καὶ (3) συνειδήσει μου καὶ σὺ προςέταξας, καὶ ταῦτά σε εὐμενῶς ἀποδέχεσθαι ἐρρωμένως ἡγησάμην. Ἀναγίνωσκε οὖν ἃ ἐσπούδακα, ὥςπερ εἴωθας Κρουσίου ἡμετέρων τε γράμματα καὶ βιβλία ἀναγινώσκειν. Περὶ δέ μου νόμιζε ὅτι πάντων Ἑλλήνων φίλος καὶ μάλιστα εὐσεβείας σῆς χρήσει καὶ κτήσει εἰμί.

Ἔρρωσο.

Ὁμολογία πάντων γνησείως χριστιανῶν καὶ καθολικῶν περὶ δύω βάσεων παλαιοῦ ἑλληνικοῦ ἐθνικισμοῦ, περὶ πυρὸς καθαρτηρίου καὶ τῶν εἰκόνων.

Πιστεύομεν, ὅτι πυρὸς τοῦ καθαρτηρίου, ἐν ᾧ τοὺς τετελευτηκότας εἶναι τινὰς οἱ παπίσται καταλέγουσιν, οὐκ ἔστιν, ἀλλὰ πρῶτοι οἱ παπίσται ὑπῆρξαν τούτου· ἐρρωμένως δὲ κατασκευάζομεν, ὅτι μετὰ τὴν τοῦ βίου τελευτὴν δύω μόνον ὁδὼ καὶ τρίβω τοῖς τετελευτηκόσι

(1) Γρ. **μόνοις**. Ἡ δὲ χρῆσις ἐκ τῆς πρὸς Δημόν. Παραιν.
(2) Γρ. ἴσ. **ὁμολογίαν**.
(3) Γρ. ἴσ. **ἐν**.

Θεὸς ἀπένειμεν, ἢ ζωὴν αἰώνιον, ἢ ἐν ᾄδου, καθὼς καὶ ἡ Γραφὴ ἁγία ἐγνώρισεν ἡμῖν, καὶ αὐτὸς ὁ Χριστός: « *Ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται· ὁ δὲ ἀπιστήσας κατακριθήσεται* (1)· καί: « *Ὁ πιστεύων εἰς αὐτὸν οὐ κρίνεται· ὁ δὲ μὴ πιστεύων ἤδη κέκριται* » (2)· [καί]: « *Ἐρεῖ* [ὁ] *βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ, Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου* »· καὶ μετὰ ταῦτα: « *Τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων, Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ* » (3). Ἐν τούτῳ τῷ λόγῳ δύω μόνον τόπους ἐξενεγκὼν δείκνυσι· βασιλείαν φησὶ τὴν οὐράνιον, καὶ πῦρ αἰώνιον. Ἐν ἄλλῳ δὲ τόπῳ ὁ αὐτὸς Χριστὸς οὕτω φησί: « *Συλλέξατε πρῶτον τὰ ζιζάνια, καὶ δήσατε αὐτὰ εἰς δέσμας πρὸς τὸ κατακαῦσαι αὐτά· τὸν δὲ σῖτον* τόνδε* συναγάγετε εἰς τὴν ἀποθήκην μου* » (4)· δύω λέγει, τὸ κατάκαυμα, καὶ ἀποθήκην οὐράνιον. Καὶ πάλιν: « *Καλόν σοι ἐστὶν εἰςελθεῖν εἰς τὴν ζωὴν χωλὸν ἢ κυλλόν, ἢ δύο χεῖρας ἢ δύο πόδας ἔχοντα βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώνιον* »· καὶ μετὰ ταῦτα: « *Καλόν σοι ἐστὶ μονόφθαλμον εἰς τὴν ζωὴν εἰςελθεῖν, ἢ δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός* » (5). Ἔτι Ἰωάννης δύο τόπους φανερῶς ἀποδεικνύει: « *Εἴ τις οὐχ εὑρέθη ἐν τῇ βίβλῳ τῆς ζωῆς γεγραμμένος, ἐβλήθη εἰς τὴν τιμὴν τοῦ πυρός* » (6)· μετὰ δὲ ταῦτα λέγει: « *Καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ οὐρανοῦ λεγούσης, Ἰδοὺ ἡ σκηνὴ τοῦ Θεοῦ μετὰ τῶν ἀνθρώπων, καὶ σκηνώσει μετ' αὐτῶν φῶς* » (7). Φανερῶς ἀποδεικνύουσι διὰ τούτων αἱ θεόπνευσται Γραφαί, ὅτι δύο μόνον τόποι εἰσί, ζωὴ καὶ τοῦ πυρὸς γέεννα. Ὁμοίως καὶ παρὰ τῷ Λουκᾷ (8), Λάζαρον πτωχὸν θανόντα ἐγένετο ἀπενεχθῆναι ὑπὸ τῶν Ἀγγέλων εἰς τὸν κόλπον τοῦ Ἀβραάμ, τὸν δὲ πλούσιον ταφέντα ἐν τῷ ᾅδῃ ἐν βασάνοις ὑπάρξαι. Περὶ δὲ

(1) Μάρκ. ιϛ', 16.
(2) Ἰωάν. γ', 18.
(3) Ματθ. κε', 34, 41.
(4) Αὐτ. ιγ', 30.
(5) Αὐτ. ιη', 8, 9.
(6) Ἀποκ. κ', 15. Γραπτέον μέντοι: λίμνην τοῦ πυρός.
(7) Αὐτ. κά, 2—3. Κἀνταῦθα γρ. τὴν τελευταίαν λέξιν: Θεός.
(8) Ιϛ', 20—23.

πυρὸς καθαρτηρίου ἐν πάσαις γραφαῖς ἀφωνία, ὥςπερ περὶ οὐκ ὄντων, ἐστίν. Ἀλλὰ ἔνστασις τῶν δυςμόρων παπολάτρων· χρὴ τοὺς ἐν ἁμαρτίᾳ μικρᾷ θανόντας ἐν πυρὶ καθαρτηρίου εἶναι, καὶ ἁμαρτήματα τιμωρίαις δικαίαις καθαρεύειν, καθαρθέντας τε, ἐκεῖθεν εἰς τὸν κόλπον τοῦ Ἀβραὰμ διαπερᾶν. Ἀποκρινόμεθα αὐτοῖς πρῶτον· Οὐκ ἔστιν ἐν ταῖς ἁγίαις Γραφαῖς τὰς ἁμαρτίας ἐν καθαρτηρίῳ καθαρτέον.

Δεύτερον· Μόνον αἷμα τοῦ Ἰησοῦ Χριστοῦ καθαρίζει ἁμαρτίας, οὐκ ἄγγελος, οὐδὲ πῦρ, οὐδέ τι ἄλλο, καθάπερ Πνεῦμα ἅγιον ἐν Γραφαῖς λέγει: «*Αἷμα τοῦ Χριστοῦ, ὃς διὰ Πνεύματος αἰωνίου ἑαυτὸν προςήνεγκεν ἄμωμον τῷ Θεῷ,* *καὶ* *καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων*»· καὶ πάλιν: «*Χωρὶς αἱματεκχυσίας οὐ γίνεται ἄφεσις* (1). Σαφῶς δὲ λέγουσιν οἱ παπίσται, ὅτι ἐν πυρὶ καθαρτηρίῳ οὐκ ἔστιν αἱματεκχυσία. Καὶ πρὸς τοὺς Ἐφεσίους (2): «*Ἔχομεν* [τὴν] *ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν παραπτωμάτων, καὶ τὸν πλοῦτον τῆς χάριτος αὐτοῦ· ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς ἐν πάσῃ σοφίᾳ καὶ φρονήσει*»· καὶ πάλιν πρὸς Κολασσαεῖς (3): *Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ*». Ἰωάννης ἐν πρώτῃ Ἐπιστολῇ κεφάλαιον ά: «*Τὸ αἷμα Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας*»· οὐ καθαρτήριον, ἀλλὰ αἷμα Χριστοῦ. Κεφάλαιον β′: «*Αὐτὸς Ἰησοῦς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν· οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου*». Καὶ Παῦλος [πρὸς Ῥωμαίους] κεφάλαιον γ′: «*Λογίζετε* (4) *πίστει δικαιοῦσθαι ἄνθρωπον χωρὶς ἔργων;*», δωρεάν φησι τοῦ Θεοῦ χάριτι. Ἐξ ὧν φανερόν ἐστιν ὅτι καθαρτήριον οὐκ ὄν· εἰ γὰρ ἁμαρτήματα καὶ παραπτώματα πάντα (ὥςπερ Ἰωάννης εἴρηκεν) *αἷμα τοῦ Ἰησοῦ Χριστοῦ*, ἢ (καθάπερ Παῦλος ἐκλεκτὸν τοῦ Θεοῦ ὄργανον) χάρις τοῦ Θεοῦ δωρεὰν καθαρίζει, οὐκ ἀναγκαῖαί εἰσι τιμωρίαι καὶ καθαρότητες τοῦ καθαρτηρίου.

Τρίτον· πάντες ἄνθρωποι, ἢ πιστοὶ ἢ ἄπιστοι, εἰσὶ πιστοὶ κἂν ἐν μικραῖς, ὥςπερ παπολάτραι λέγουσιν, ἁμαρτίαις θανόντες πίστει εἰς Χριστὸν δικαίωσιν ἔχουσι· καθάπερ ὁ ληστὴς σταυρωθείς, οὐκ εἰς

(1) Ἑβρ. Θ′, 14, 22.
(2) Α′, 7.
(3) Α′, 14.
(4) Γρ. **Λογιζόμεθα.**

καθαρτήριον, ἀλλ' εἰς παράδεισον εἰςῆλθε, καθὰ καὶ Χριστὸς λέγει ὅτι: «*Μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωὴν*» (1), δηλονότι πιστὸς, μηδὲ καθαρίζεσθαι ἐν καθαρτηρίῳ ἀπὸ τῶν ἁμαρτιῶν πιστοῖς ἀναγκαῖον, ὅτι αἷμα τοῦ Χριστοῦ. . , . , . ,

ΕΠΙΛΟΓΟΣ.

Ἡ εἰςαγωγὴ αὕτη τοῦ βιβλίου, ἀποτελουμένη ἐκ σελίδων 26, περιέχει πλείστας παρατηρήσεις ἀξίας λόγου καὶ καταδεικνύει τὴν σημασίαν ἣν ἔχει ἡ τῶν ἑλληνικῶν χειρογράφων διακόσμησις οὐ μόνον διὰ τὴν ἱστορίαν αὐτῆς τῆς βυζαντιακῆς τέχνης, ἀλλὰ καὶ διὰ τὰς σχέσεις ταύτης πρὸς τὴν ἀρχαίαν γραφικὴν, ἧς διασώζει ὁπωςδήποτε τὰς ἐπιδράσεις καὶ τὴν τεχνοτροπίαν. Καὶ δὲν πρέπει μὲν κατὰ τὸν κ. Bordier νὰ ζητήσωμεν ἐν τοῖς ἑλληνικοῖς χειρογράφοις τῆς βιβλιοθήκης τῶν Παρισίων κοσμήματα ἢ ἱστορίας δυναμένας νὰ ταυτισθῶσι μετ' ἔργων τῆς κλασικῆς ἀρχαιότητος. Τοιαύτη ἀναζήτησις θὰ ἦτο ματαία, βαθείας τάφρου χωριζούσης τὰς δύο ἐποχὰς, ἅτε τῶν ἀρχαιοτάτων τῶν ἐν Παρισίοις ἱστορημένων χειρογράφων ἀνερχομένων μόλις εἰς τὸν η' αἰῶνα μ. Χ. Ἀλλ' οὐχ ἧττον τὰ ἱστορημένα βυζαντιακὰ χειρόγραφα παρουσιάζουσιν ἴχνη καὶ ἀναμνήσεις τῆς ἀρχαιότητος ἔν τε ταῖς ἐνδυμασίαις τῶν προσώπων τῆς Παλαιᾶς καὶ Νέας Διαθήκης καὶ τῶν ἁγίων καὶ ἐν ταῖς ἀναπαραστάσεσι τῶν θεῶν καὶ ἡρώων, τῶν τε μυθολογικῶν καὶ τῶν ἱστορικῶν, οἷον τοῦ Ἀπόλλωνος, τῆς Χιμαίρας, τοῦ Ἀλεξάνδρου, τῆς Σαπφοῦς κτλ. ἐπ' ἴσης δὲ καὶ ἔν τισιν ἀναπολήσεσι τῆς ἀρχαιότητος περισωθείσαις κατ' ἀσυνείδητόν τινα παράδοσιν. Τὸ δὲ κυριώτατον, καὶ ἐκλιπούσης τῆς παραδόσεως τοῦ ἐργαστηρίου καὶ τῆς ἐπιδράσεως τοῦ προτύπου καὶ ἐξαφανισθείσης πάσης ἀπ' εὐθείας κληρονομικῆς μεταδόσεως τῆς τέχνης, περισώζεται ἀκόμη καὶ ἐν αὐτοῖς τοῖς τελευταίοις ἑλληνικοῖς χειρογράφοις ὁμογενές τι καὶ ἐθνικὸν παρευθὺς ἀναγνωριζόμενον, συνενοῦν ἅπαντα ἀπὸ τῶν ἀρχαιοτάτων μέχρι τῶν νεωτάτων εἰς ὁμάδα διακεκριμένην καὶ ἐπιδεικνύουσαν ἰδιάζοντά τινα τύπον, ἰδιαιτέραν φυλετικὴν τεχνότροπίαν.

Τὰ σπάνια δὲ ἴχνη τῆς ἀρχαιότητος τὰ περισωζόμενα ἐν τοῖς ἑλ-

ληνικοῖς κώδιξι τῆς παρισιακῆς βιβλιοθήκης εὐλαβῶς καὶ ἐν ἀκριβείᾳ περισυνάγων ὁ κ. Bordier ἀνευρίσκει πολὺ τὸ ἀρχαϊκὸν μάλιστα ἐν τῷ ὑπ' ἀρ. 510 κώδικι τῷ περιέχοντι τὰς ὁμιλίας Γρηγορίου τοῦ Ναζιανζηνοῦ. Ἡ γραφικὴ τέχνη τοῦ κώδικος τούτου ἐνθυμίζει, καθ' ἃ ἤδη εἶχε παρατηρήσει ὁ Γερμανὸς Waagen, ἄλλοτε διευθυντὴς τοῦ μουσείου τῆς Δρέσδης, ἐξ ἑνὸς μὲν τὰς τοιχογραφίας τῆς Πομπηΐας, ἐξ ἑτέρου δὲ διὰ τὴν τελειότητα τοῦ σχεδίου καὶ τῆς ἐκφράσεως τὰ ἔργα τοῦ Ῥαφαήλ. Ἐν δὲ τῷ ὑπ' ἀριθ. 278 Εὐαγγελίῳ εἰκών τις νεανίου ἐνθυμίζει κατὰ τὸν κ. Bordier τοὺς ἐφήβους τῆς ἀρχαίας Ἑλλάδος ἢ τοὺς νεαροὺς πολίτας τῆς Ῥώμης. Καὶ ἐν ἄλλοις δὲ χειρογράφοις ἀναγνωρίζεται κλασικὴ ἔμπνευσις.

Αἱ δὲ θρησκευτικαὶ σκηναὶ τῶν παρισιακῶν χειρογράφων, ὧν τινας περιγράφει ὁ κ. Bordier, θὰ ἐκτιμηθῶσι κυρίως ἐν συνόλῳ ὅταν τὸ προκείμενον ἔργον συμπληρωθῇ, παραβαλλόμεναι πρὸς τὴν καθόλου ἁγιογραφίαν τῶν Βυζαντίνων, οἵαν γνωρίζομεν αὐτὴν κατὰ τὰς παραδόσεις διατυπωθεῖσαν ἐν τῇ Ἑρμηνείᾳ τῶν Ζωγράφων καὶ οἵαν ἐμελέτησεν αὐτὴν μέχρι τοῦδε εἴπερ τις καὶ ἄλλος ὁ Γάλλος Didron.

Τῶν δὲ μὴ θρησκευτικῶν ἢ κοσμικῶν σκηνῶν, καίπερ σπανίως παρουσιαζομένων, μεγάλη ἔσται ἡ χρησιμότης διὰ τὴν γνῶσιν τοῦ ἰδιωτικοῦ καὶ πολιτικοῦ βίου τῶν Βυζαντίνων, ὡς καὶ ἡ ἐκ τῶν ἱστοριῶν τῶν παριστωσῶν τύπους τινάς, οἷον αὐτοκράτορας, ἐπισκόπους καὶ ἄρχοντας καὶ ἄνδρας ἀνήκοντας εἰς διάφορα ἐπιτηδεύματα.

Μεγάλη δ' ἔσται ἡ ὠφέλεια ἐκ τῆς δημοσιεύσεως τῶν εἰκόνων συγγραφέων, αὐτοκρατόρων ἢ ἄλλων ἱστορικῶν προσώπων, ὁποῖαι ἀπαντῶσιν οὐχὶ σπανίως ἐν τοῖς παρισιακοῖς χειρογράφοις. Ἰδίως χρησιμωτάτη ἀποβήσεται ἡ ἄλλως δαπανηρὰ δημοσίευσις χρωματολιθογραφικῶν πανομοιοτύπων ἁπασῶν τῶν ἐν τοῖς ἑλληνικοῖς χειρογράφοις σωζομένων εἰκόνων ἱστορικῶν προσώπων, ἔργον ὅπερ μόνον ἑταιρία τις οἵα ἡ ἡμετέρα δύναται καὶ ὀφείλει ποτὲ νἀναλάβῃ.

Τέλος δ' ἐκ τῶν παρατηρήσεων τοῦ κ. Bordier σημειωθήτωσαν ἐνταῦθα καὶ αἱ ἀναφερόμεναι εἰς τὴν ἀνεπάρκειαν τῆς παραστάσεως τῶν τοπείων καὶ τῆς ἀρχιτεκτονικῆς, τοῦ ἐσωτερικοῦ τῶν οἴκων καὶ τῶν σκευῶν ἐν τοῖς ἑλληνικοῖς χειρογράφοις τῶν Παρισίων, ἅτινα καὶ μόνα εἶχεν ὑπ' ὄψιν, εἰς τὴν ἐπιεικῆ ἐντέλειαν τῆς ἐξεικονίσεως τῶν

ζῴων καὶ εἰς τὸν πλοῦτον, τὴν ποικιλίαν καὶ τελειότητα τῶν ἀρχικῶν κεφαλαίων γραμμάτων.

Μετὰ δὲ τὴν εἰςαγωγὴν ἕπεται ἐν τῷ προκειμένῳ συγγράμματι περιληπτικὴ ἀπογραφὴ ἁπάντων τῶν ἐν τῇ βιβλιοθήκῃ τῶν Παρισίων ἱστορημένων ἑλληνικῶν κωδίκων. Σημειοῦνται δὲ καθ' ἕκαστον κώδικα ὁ ἀριθμὸς ὅν φέρει ἐν τῇ βιβλιοθήκῃ, τὸ κυριώτατον αὐτοῦ περιεχόμενον, ὁ χρόνος καθ' ὅν ἐγράφη καὶ τὸ εἶδος τῆς γραφικῆς αὐτοῦ διακοσμήσεως.

Τέλος δὲ ἄρχεται ἡ λεπτομερὴς περιγραφὴ τῶν ἀξιολογωτάτων ἱστορημένων κωδίκων κατὰ χρονολογικὴν τάξιν. Θέλουσι δὲ περιγραφῇ ἐν συνόλῳ, καθ' ἃ εἴπομεν, 150 τοιοῦτοι κώδικες. Τὸ δὲ ἤδη ἐκδεδομένον πρῶτον τεῦχος τοῦ καταλόγου περιλαμβάνει τούτων εἴκοσι καὶ τέσσαρας γραφέντας κατὰ τὸν η' θ' καὶ ι' αἰῶνα. Κοσμεῖται δὲ τὸ πρῶτον τεῦχος καὶ ὑπὸ 57 ξυλογραφημάτων ἀναπαριστώντων ἄξια λόγου κοσμήματα, ἀρχικὰ γράμματα καὶ ἱστορίας ἐκ τῶν περιγραφομένων κωδίκων. Καὶ θὰ ἦτο μὲν εὐχῆς ἔργον νὰ κατωρθοῦτο ἡ διὰ χρωμάτων πανομοιότυπος ἀναπαράστασις τῶν καλλιτεχνημάτων τῶν χειρογράφων, τοῦθ' ὅπερ καὶ αὐτὸς ὁ συντάκτης τοῦ καταλόγου ἐπεθύμει· ἀλλὰ στέργομεν καὶ οὕτως ἔχον τὸ ἔργον, ἀναλογιζόμενοι τὰς ὑπερόγκους δαπάνας ἃς ἔμελλε νἀπαιτήσῃ ἡ χρωματολιθογραφικὴ δημοσίευσις τῶν εἰκόνων. Οὐχ ἧττον δ' ἐφρόντισεν ὁ κ. Bordier ὅπως ἐν τοῖς ξυλογραφήμασι, καίπερ δι' ἁπλοῦ μέλανος ἐκτετυπωμένοις, σημαίνωνται τὰ χρώματα τοῦ πρωτοτύπου διὰ τῆς συνήθους ἐν ταῖς θυρεογραφικαῖς δημοσιεύσεσι διατάξεως τῶν γραμμῶν καὶ στιγμῶν.

Τοῦτο τὸ σπουδαῖον ἔργον τοῦ κ. Bordier, οὗ ἀναμένομεν τὴν ἀποπεράτωσιν ὅπως πραγματευθῶμεν τὰ κατ' αὐτὸ διὰ μακροτέρων.

Σ. Π. Λ.

Ἡμερολόγιον τῆς 'Ανατολῆς πολιτειογραφικὸν καὶ φιλολογικὸν τοῦ ἔτους 1883 ὑπὸ Αθ. Παλαιολογου. Ἔτος δεύτερον. 'Εν Κωνσταντινουπόλει, 1882, 8ον σελ. ιϛ', 335. Δρ. 5.

Ἡ 'Ανατολὴ εἶναι ὁμολογουμένως ἡ μάλιστα ὑφ' ἡμῶν ἀγνοουμένη χώρα, οἵτινες συνειθίσαμεν νἀρυώμεθα ἀταλαιπώρως τὰς περὶ αὐτῆς ἡμετέρας γνώσεις ἐκ τῶν ἐν τοῖς ἔργοις ἀλλοδαπῶν ἀνδρῶν

περιεχομένων ἀτελῶν καὶ ἥκιστα ἀπηκριβωμένων πληροφοριῶν. Καὶ ὅμως πάντες ἀναγνωρίζομεν, ὅτι ἐκ τῆς ἀσφαλοῦς γνώσεως τῶν ἐν Ἀνατολῇ πραγμάτων ἐξήρτηνται τὰ ὕπατα ἐθνικὰ συμφέροντα καὶ ὅτι αὕτη εἶναι ἡ μόνη βάσις, καθ' ἣν δέον νὰ κανονίζηται ὁ τρόπος τῆς ἐθνικῆς ἐνεργείας. Τούτου ἕνεκα πολλῆς σπουδῆς ἄξιον εἶναι τὸ προκείμενον *Ἡμερολόγιον*, ἐν ᾧ μετὰ σπανίας φιλοπονίας καὶ ζήλου, πλείστας δυσυπερβλήτους κατανικήσας δυςχερείας, κατώρθωσε νἀποθησαυρίσῃ ὁ ἐκδότης δαψιλεῖς καὶ πολυτιμοτάτας ἀπογραφικὰς εἰδήσεις, διαφωτιζούσας ἱκανῶς τὴν κατάστασιν τῶν ἐν τῇ Ἀνατολῇ χωρῶν. Λεπτομέρειαι ἄγνωστοι τοῖς πολλοῖς περὶ τῆς διοικήσεως τοῦ ὀθωμανικοῦ κράτους, περὶ τῆς καταστάσεως τῶν ἐν Ἀνατολῇ ἐκκλησιῶν, περὶ τῆς ἐκπαιδευτικῆς κινήσεως καθιστᾶσιν ἐπαγωγὸν τὴν μελέτην τῶν ξηρῶν συνήθως καὶ ἀτερπῶν ἀπογραφικῶν σημειώσεων. Ἐλήφθησαν δὲ πᾶσαι αἱ ἐν τῷ προκειμένῳ Ἡμερολογίῳ πληροφορίαι ἐκ πηγῶν ἀσφαλεστάτων, καὶ πᾶσαι φαίνονται ὑποβληθεῖσαι εἰς τὴν προσήκουσαν βάσανον. Ὁ κ. Παλαιολόγος ἀναλαβὼν καὶ ἀγαγὼν αἰσίως εἰς πέρας ἔργον, ὅπερ ἀλλαχοῦ μόνον ὑπὸ τῶν Κυβερνήσεων, ἀφθόνους πρὸς τοῦτο διατιθεισῶν πόρους, δύναται νὰ συντελεσθῇ, ἀπέδειξε τί δύναται νὰ κατορθώσῃ νοήμων καὶ φιλόπατρις ἰδιωτικὴ ἐργασία. Προθύμως δὲ συνομολογοῦμεν αὐτῷ, ὅτι τὸ ἔργον του προώρισται «οὐχὶ νὰ ἐξαφανισθῇ, ὡς τὰ συνήθη ἡμερολόγια, μετὰ τοῦ » ἔτους, καθ' ὃ ἐκδίδοται, ἀλλὰ νὰ παραμείνῃ κτῆμα ἐς ἀεί, διὰ τὰς » ἐν αὐτῷ ἀποτεθησαυρισμένας, χρησίμους ἐν παντὶ ἔτει, εἰδήσεις καὶ » γνώσεις ».

Ν. Γ. Π.

ΙΣΤΟΡΙΚΗ ΚΑΙ ΕΘΝΟΛΟΓΙΚΗ ΕΤΑΙΡΙΑ ΤΗΣ ΕΛΛΑΔΟΣ.

Δωρεαὶ εἰς τὸ Μουσεῖον τῆς Ἑταιρίας.—Ὁ κ. *Ἀλ. Ν. Μελετόπουλος* ἐδωρήσατο 1) ζώνην μεταξίνην χρυσοκέντητον, πήχεων 7, τῶν ἀρχῶν τοῦ παρελθόντος αἰῶνος. 2) Φυλακτήριον (χαιμαλὶ) ἀργυροῦν μετ' ἁλύσεων. 3) Ζεῦγος ἀργυρῶν μεγάλων θηλυ-

κωτήρων ζωστῆρος. 4) Πηλίνην σφραγῖδα, φέρουσαν ἐγκεχαραγμένον ἀετόν. 5) Σφραγῖδα ὀρειχαλκίνην τῆς διοικητικῆς ἀστυνομίας Ἀθηνῶν καὶ Πειραιῶς, τῶν πρώτων ἐτῶν τῆς συστάσεως αὐτῆς.—Ὁ κ. *Χ. Κορύλλος*, ἰατρὸς ἐν Πάτραις, 1) Σπάθην συληθεῖσαν κατὰ τὴν καταστροφὴν τοῦ Δράμαλη. 2) Καραβίναν τῆς αὐτῆς ἐποχῆς.—Ὁ κ. *Ν. Χ. Ἀποστολίδης* ἐσωκάρδιον (γιλέκον) ἐξ ἐνδυμασίας χωρικοῦ τοῦ Πηλίου, τῶν ἀρχῶν τοῦ παρόντος αἰῶνος.—Ὁ κ. *Ν. Γ. Πολίτης*, πήλινα τρυβλία ἔχοντα ἀποτετυπωμένας εἰκόνας τῆς ἑλληνικῆς ἱστορίας.—Ὁ κ. *Γ. Δροσίνης* βελονοθήκην ἐκ πύξου ὁλόγλυφον.

Δωρεαὶ εἰς τὸ Ἀρχεῖον τῆς Ἑταιρίας.—Ὁ κ. *Παῦλος Λάμπρος* ἐδωρήσατο σιγίλλιον ἐπὶ μεμβράνης τοῦ ις΄ αἰῶνος, τοῦ Πατριάρχου Κωνσταντινουπόλεως Διονυσίου πρὸς τὸν μητροπολίτην Λαρίσης.—Ὁ κ. *Α. Κ. Χούμης*, ἐν Σύρῳ, πωλητήριον ἔγγραφον, φέρον ἡμερομηνίαν 1691 Ὀκτωβρίου 12.—Ὁ κ. *Α. Ν. Μελετόπουλος* 1) χειρόγραφον περιεργότατον τῶν ἀρχῶν ἴσως τοῦ παρελθόντος αἰῶνος, ἄνευ ἀρχῆς καὶ τέλους, περιέχον Σολωμονικήν. 2) Διαβατήριον τοῦ ἐν Βατίκοις τῆς Ἐπιδαύρου Λιμηρᾶς μοναστηρίου Παραδείσι, τοῦ 1822.—3) Πιστοποιητικὸν ὑγιείας, φέρον ὑπογραφὴν Maffei, τοῦ ἔτους 1825, ἐν Κυθήροις.—Ὁ κ. ***Em. Legrand***, ἐν Παρισίοις, 1) ἐπιστολὴν τοῦ ἐκ Σμύρνης *Κ. Νικολοπούλου* πρὸς τὸν πρόεδρον καὶ τὸ διοικητικὸν συμβούλιον τοῦ ἐν Παρισίοις Ἀθηναίου, τῆς 3 Δεκεμβρίου 1811. 2) Τοῦ αὐτοῦ Νικολοπούλου ποίημα γαλλιστὶ ἐν χειρογράφῳ, ἐπιγραφόμενον: L'évêque de Missolunghi près du cercueil de Lord Byron.—Ὁ κ. *Σ. Σταυράκης*, ἐν Ἴῳ, χειρόγραφον χάρτινον, εἰς 4ον ἐκ σ. 458, ἄνευ ἀρχῆς καὶ τέλους, περιέχον περὶ ἐκπορεύσεως τοῦ Ἁγ. Πνεύματος καὶ Νικηφόρου τοῦ Βλεμίδου διδασκαλίαν πρὸς τοὺς μοναχοὺς τοῦ ἀνεγερθέντος παρ' αὐτοῦ φροντιστηρίου.—Ὁ κ. *Γ. Κλάδος* 5 ἔγγραφα εὑρεθέντα ἐν τοῖς ἐγγράφοις τοῦ πατρός του Ἰωάννου Κλάδου, ἰατροῦ ἐξ Ὕδρας ἤτοι: 1) Σχέδιον συντάξεως τῆς ἑλληνικῆς πολιτείας, γραφὲν κατὰ τὰ πρῶτα ἔτη τῆς ἐπαναστάσεως. 2) Χειρόγραφον ἐκ φύλλων 6, περὶ τῆς πολιτικῆς τῆς Ἀγγλίας, γαλλιστὶ γεγραμμένον τῷ 1822 ἴσως. 3-4) Δύο προκηρύξεις πρὸς τοὺς Κρῆτας, ὧν ἡ μία φέρει ἡμερομηνίαν 26 Μαΐου 1823. 5) Μετάφρασιν γραικοῦ τινος ἐν Βιέννῃ, μα-

κρᾶς πραγματείας περὶ τῶν καθηκόντων τῶν Ἑλλήνων, γεγραμμένην μηνὶ Ἰανουαρίῳ 1822.—Ὁ κ. *Μ. Παπαδόπουλος*, πρῴην σχολάρχης, πρόσταγμα τοῦ ἀρχιστρατήγου Βοναπάρτου, τυπωθὲν ἐν Κερκύρᾳ γαλλ. ἑλλ. καὶ ἰταλιστί, τῷ 1798, μετὰ χειρογράφου βεβαιώσεως τοῦ διακηρύξαντος αὐτὸ τυμπανιστοῦ.—Ὁ κ. *Σ. Κ. Σακελλαρόπουλος*, Πρόγραμμα τῆς Ἰονίου Ἀκαδημίας τοῦ ἔτους 1826.—Ὁ κ. *Χ. Κορύλλος*, ἐν Πάτραις, 9 ὁμόλογα, πωλητήρια κλπ., τῶν ἐτῶν 1758, 1768, 1787, 1788, 1789, 1809, 1819, 1828, 1834.—5 ἰδιωτικὰ ἔγγραφα τουρκιστὶ γεγραμμένα.—Ὁ κ. *Μ. Βρατσᾶνος*, Δοκίμιον λεξικοῦ, χειρόγραφον τοῦ παρόντος αἰῶνος.

Δωρεαὶ εἰς τὴν Βιβλιοθήκην τῆς Ἑταιρείας.—Ὁ κ. *Ἀντ. Μηλιαράκης*, 1) Μανούσου, Λυρικὰ ποιήματα. Ἀθ. 1876, 2) Καλαθάκη, ὁ ἐρημίτης τῆς Ἴδης. Κ/πολις, 1871. 3) Τοῦ αὐτοῦ, Ἡ καλογραῖα τῆς μονῆς τῶν Τρικέρων. Κ/πολις, 1872. 4) Φραβασίλη, Ἀθῆναι καὶ Ῥώμη. Ἀθ. 1875. 5) Συνοδινοῦ, Διάττοντες Ἀθ. 1878.—Ὁ κ. *Α. Κ. Χούμης*, ἐν Σύρῳ. 1) Βυζαντίου, ἡ Βαβυλωνία. Ἀθ. 1840. 2) Χούμη, Παιδικὴ βιβλιοθήκη, Βιβλ. Α'. ἐκδ. γ'. Συρ. 1880. 3) Βιβλ. Β'. ἐκδ. δ'. Συρ. 1882. 4) Χατζιδάκη, περιήγησις εἰς Κρήτην. Ἑρμ. 1881. 5) Μιαούλη, Σύντομοι βιογραφίαι Λαζ. Παναγιώτα καὶ Γ. Σαχίνη. Ἀθ. 1879. 6) Ε. Ι. Κ[ρητικίδου], Σαμιακὰ ἔθιμα. Ἑρμ. 1875. 7) Παπαμιχαλοπούλου, Πολιορκία καὶ ἅλωσις τῆς Μονεμβασίας τῷ 1821. Ἀθ. 1874. 8) Ἀργυροπούλου, περὶ τοῦ λαοῦ τῆς νήσου Κρήτης. 9) Ἀμπελᾶ, Ἱστορία τῆς νήσου Σύρου. Ἑρμ. 1874. 10) Marcellus, Chants populaires de la Grèce moderne. Paris, 1860.—Ὁ κ. *Ν. Γ. Πολίτης*, τὰ ἔργα αὐτοῦ. 1) Μελέτη περὶ τοῦ βίου τῶν νεωτ. Ἑλλήνων. τ. Β'. Ἀθ. 1874.—2) ὁ περὶ τῶν Γοργόνων μῦθος. Ἀθ. 1878.—3) Δημώδεις μετεωρολογικοὶ μῦθοι. Ἀθ. 1880. 4) Ὁ Ἥλιος κατὰ τοὺς δημώδεις μύθους. Ἀθ. 1882.—5) Λόγος εἰσιτήριος εἰς τὸ μάθημα τῆς ἑλλ. μυθολογίας. Ἀθ. 1882. 6) Αἱ ἀσθένειαι κατὰ τοὺς μύθους τοῦ ἑλλ. λαοῦ. Ἀθ. 1883. 7) Quinet, Τὸ νεώτερον πνεῦμα. Ἀθ. 1876.

ΕΚ ΤΩΝ ΑΝΕΚΔΟΤΩΝ ΤΗΣ ΠΑΤΜΙΑΚΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ.

ΛΕΟΝΤΟΣ ΜΑΓΙΣΤΡΟΥ ΑΝΘΥΠΑΤΟΥ ΠΑΤΡΙΚΙΟΥ, ΣΥΜΕΩΝ ΑΡΧΟΝΤΟΣ ΒΟΥΛΓΑΡΙΑΣ ΚΑΙ ΤΙΝΩΝ ΑΛΛΩΝ ΕΠΙΣΤΟΛΑΙ,

ΕΚΔΙΔΟΝΤΟΣ

ΙΩΑΝΝΟΥ ΣΑΚΚΕΛΙΩΝΟΣ

ἐπιμελητοῦ τῶν χειρογράφων τῆς ἐθνικῆς βιβλιοθήκης.

ΠΡΟΛΟΓΟΣ.

Αἱ ἐκδιδόμεναι ὧδε κζ' ἐπιστολαὶ περιέχονται σὺν καὶ ἄλλοις τισὶ πονήμασιν(1) ἐν τῷ ΡΟΗ' περγαμηνῷ τεύχει τῆς Πατμιακῆς βιβλιο-

(1) Ταῦτά εἰσι: α') Λέοντος μαγίστρου, ἀνθυπάτου, πατρικίου (δῆλον ὅτι τοῦ αὐτοῦ τῷ ἀνωτέρω), τοῦ προγεγονότος μυστικοῦ καὶ ἐπὶ τοῦ κανικλείου Ἐπιτομὴ ἑρμηνείας εἰς τὴν **Γένεσιν**, τὴν **Ἔξοδον**, τὸ **Λευϊτικόν**, τοὺς **Ἀριθμούς**, τὸ **Δευτερονόμιον**, τὸν **Ἰησοῦν**, τοὺς **Κριτάς**, τὴν **Ῥούθ**, τὰς **Βασιλείας** καὶ τὸ Α' καὶ Β' τῶν **Παραλειπομένων**. β') Νικήτα φιλοσόφου τοῦ Παφλαγόνος ἐπιστολὴ πρὸς ἀββᾶν Ἀρσένιον. γ') Νικολάου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως [τοῦ Μυστικοῦ] ἐπιστολαὶ ρξβ', καὶ δ') Φωτίου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως ἐπιστολαὶ μϛ'.— Ἐν δὲ τῷ πρὸ αὐτοῦ ΡΟΖ' τεύχει γεγραμμένῳ καὶ τούτῳ κατὰ τὴν Ι' ἑκατονταετηρίδα, φέρεται τοῦ αὐτοῦ Λέοντος, πλὴν τῆς Ἐπιτομῆς εἰς τὰ ἀνωτέρω σημειωθέντα βιβλία τῆς Παλαιᾶς Διαθήκης, καὶ ἑτέρα Ἐπιτομὴ εἰς τὰ ἑξῆς τῆς Καινῆς, ἤτοι εἰς τὸ **κατὰ Ματθαῖον** Εὐαγγέλιον, εἰς τὸ **κατὰ Ἰωάννην**, εἰς τὸ **κατὰ Λουκᾶν**, εἰς τὴν **Ἰακώβου ἐπιστολήν**, εἰς τὰς **δύο τοῦ Πέτρου**, εἰς τὰς **τρεῖς τοῦ Ἰωάννου**, εἰς τὴν **τοῦ Ἰούδα**, καὶ εἰς τὰς **Πράξεις τῶν Ἀποστόλων**. Σφάλλεται δὲ ὁ Λελόγγος [Le Long Bibl. Sacr. Τόμ. Β', σελ. 826], ὃς μνείαν ποιούμενος τοῦ χειρογράφου τούτου τῆς Πατμιακῆς βιβλιοθήκης, λέγει ὅτι περιλαμβάνει Ἑρμηνείαν καὶ εἰς τοὺς τέσσαρας Εὐαγγελιστάς. Καὶ ἐν τῇ οὐϊνδοβονησίᾳ δὲ βιβλιοθήκῃ διατηροῦνται δύο χειρόγραφα αὐτῆς ταύτης τῆς τοῦ Λέοντος ἑρμηνείας. [Κῶδ. Θεολογ. ἀρ. 28 καὶ 324].

θήκης, περὶ τὴν Ι' φθίνουσαν ἢ τὴν ΙΑ' ἀρχομένην ἑκατονταετηρίδα γεγραμμένῳ. Τούτων δὲ εἴκοσι μέν εἰσι Λέοντος τοῦ μαγίστρου, τρεῖς δὲ, ἤτοι ἡ α', γ' καὶ ε', Συμεὼν τοῦ Βουλγαρίας ἄρχοντος, καὶ τέσσαρες, ἤτοι ἡ κϐ', κγ', κδ' καὶ κε', διαφόρων ἄλλων τῶν ἐν ἀξιώμασι τοῦ βυζαντινοῦ κράτους πρὸς αὐτὸν τοῦτον τὸν Λέοντα ἐπιστελλόμεναι.

Καὶ Λέων μὲν ὁ μάγιστρος συνήκμαζε τῷ αὐτοκράτορι Λέοντι τῷ Σοφῷ, ἐκ τοῦ τῶν Χοιροσφακτῶν ἐπισήμου ὢν γένους, ὡς μανθάνομεν ἀπό τε τοῦ Ζωναρᾶ (1), Κεδρηνοῦ, καὶ ἄλλων Βυζαντινῶν ἱστοριογράφων. Τούτου εἰσὶ πιθανῷ τῷ λόγῳ καὶ αἱ ἐπ' ὀνόματι Λέοντος μαγίστρου φερόμεναι πέντε ἀνακρεόντειοι ᾠδαί, ἤτοι α') *Εἰς Θεοκτίστην τὴν θυγατέρα ἑαυτοῦ.* ϐ') *Εἰς τὸν γάμον τοῦ αὐτοκράτορος Λέοντος.* γ') *Εἰς τὸν αὐτὸν γάμον τοῦ αὐτοκράτορος Λέοντος·* δ') *Εἰς τὸ λοετρὸν τὸ ἐν τῇ βασιλείῳ αὐλῇ ὑπὸ Λέοντος τοῦ αὐτοκράτορος οἰκοδομηθέν·* καὶ ε') *Εἰς τὴν αὐγοῦσταν Ἑλένην Κωνσταντίνου τοῦ νέου σύζυγον* (2). Εἰς τὸν αὐτὸν δὲ ἴσως ἀναγραπτέα καὶ τινα τροπάρια ᾀσματικὰ ἐν τοῖς ἐκκλησιαστικοῖς Μηναίοις φερόμενα, ἐπιγραφόμενα δὲ *Λέοντος μαγίστρου* εἴτε *μαΐστορος*· ἤτοι τὸ δοξαστικὸν τῶν ἀποστίχων τοῦ ἑσπερινοῦ Ἰωάννου τοῦ Εὐαγγελιστοῦ καὶ Θεολόγου (Μαΐου 8): «*Ἀπόστολε Χριστοῦ, Εὐαγγελιστὰ Ἰωάννη*»· τὸ τέταρτον τῶν αἴνων τοῦ ἀποστόλου Λουκᾶ (Ὀκτωϐρ. 18): «*Δεῦτε πᾶσα ἡ κτίσις*»· καὶ τὸ δοξαστικὸν τῆς λιτῆς τῶν Εἰσοδίων (Νοεμϐρ. 21): «*Ἐπέλαμψεν ἡμέρα χαρμόσυνος*», καὶ τῶν αἴνων: «*Σήμερον τῷ ναῷ προσάγεται*».

Ἄδηλον δὲ ἐπὶ τίνι ποτ' ἐγκλήματι κατεδικάσθη εἰς ὑπερορίαν ὑπὸ τοῦ αὐτοκράτορος Λέοντος ὁ τοσαῦτα, καὶ ἐκ τῶν πρώτων μάλιστα, ἀξιώματα φέρων ἐπίσημος οὗτος ἀνήρ, ὁ πλέον ἢ ἅπαξ πρός τε τὸν Βουλγαρίας ἄρχοντα καὶ τὸν Βαγδατίου *ἐμίρην* διαπρεσϐευσάμενος. Φαίνεταί πως ὅμως οὐκ ὢν φίλος τῆς Λέοντος δυναστείας. Οὕτω γὰρ καὶ ἐπὶ τῆς τοῦ υἱοῦ ἐκείνου Κωνσταντίνου τοῦ Πορφυρογεννήτου βασιλείας ἐνείχετο τῇ τοῦ δομεστίκου τῶν σχολῶν Κωνσταντίνου τοῦ Δούκα συνωμοσίᾳ, ὃς τὴν βασιλείαν ὀνειροπολῶν καὶ ταύτης ἐφιέμε-

(1) Χρον. Ιϛ', σελ. 176. Paris.

(2) Ἴδε Poetæ lyrici Græci ὑπὸ Theod. Bergk. Lips. 1867. Τόμ. Γ', σελ. 1091 ἑφ.

νὸς κατέλαβε τὴν Κωνσταντινούπολιν· ἀλλ' ἐκεῖ εὗρεν ἀντὶ τοῦ βασιλείου στέμματος θάνατον οἰκτρόν. Ἔνθεν τοι καὶ μετὰ τὴν τούτου ἀναίρεσιν τῷ τῆς Θεοῦ Σοφίας ναῷ προςέφυγεν ὁ ἡμέτερος Λέων, ὃν ἀποσπάσαντες ἐκεῖθεν οἱ τοῦ παιδὸς βασιλέως Κωνσταντίνου ἐπίτροποι ἀπέκειραν μοναχὸν ἐν τῇ τοῦ Στουδίου μονῇ (1).

Καὶ ὁποίας μὲν ἦσαν ἀξίας αἱ ἄλλαι αὐτοῦ ἐν τῷ πολιτεύεσθαι ὑπουργίαι, τοῦτό ἐστιν ἡμῖν ἄγνωστον ἄλλοθέν ποθεν· καὶ μόνον παρ' αὐτοῦ τούτου, ἐξ ὧν ἐν τῇ ΙΗ' ἐπιστολῇ δεινοπαθῶς ἐκτίθησι πρὸς τὸν αὐτοκράτορα, εἰ μὴ τυχὸν ὑποληφθείη περιαυτολογῶν, μανθάνομεν τὰς παντοίας καὶ τελεςφόρους ἀποστολὰς αὐτοῦ. Πλὴν ἀλλ' ὁ τρόπος καθ' ὃν διεπραγματεύετο πρὸς τὸν ἀλάστορα Βούλγαρον τὰ τῆς πρεσβείας αὐτοῦ, ἔχει τι τὸ σχολαστικόν. Ὅσῳ γὰρ κἂν ὑποτεθῇ ὅτι ἠπίστατο τὴν λεπτὴν καὶ ἀγχίστροφον γλῶσσαν τῆς σήμερον *διπλωματικῆς* καλουμένης ἐπιστήμης, κοῦφός τις φαίνεται νὴ Δία ἐν οἷς παίζει ἐν οὐ παικτοῖς καὶ πρὸς μὴ παίζοντα παλαμναῖον τύραννον. Σοφιστικῶς γὰρ καὶ δίκην λοξίου πειρᾶται διδάξαι αὐτὸν γραμματικοὺς κανόνας καὶ τῶν ἀρνητικῶν μορίων τὴν χρῆσιν. Ὢ καιροί! ὢ ἤθη! Ἀλλὰ ταῦτα μὲν ἐχέτωσαν ὅπως κἂν ἔχωσιν.

Συμεὼν δὲ ὁ Βουλγαρίας ἄρχων ἦν υἱὸς καὶ διάδοχος Βογόριδος ἐκείνου τοῦ μετὰ ταῦτα διὰ τοῦ τῆς παλιγγενεσίας θείου λουτροῦ Μιχαὴλ μετονομασθέντος παρὰ τοῦ ἀναδεξαμένου αὐτὸν αὐτοκράτορος Μιχαὴλ υἱοῦ Θεοφίλου, μεθ' οὗ καὶ τὸ βουλγαρικὸν ἅπαν τὴν εἰς Χριστὸν ἐδέξατο πίστιν (2). Ἤκμαζε δὲ ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Σοφοῦ, παρατείνας καὶ μέχρι τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου (886—930 περίπου). Οὗτος τοίνυν ἐξ ἁπαλῶν ὀνύχων, τὸ τοῦ λόγου, ἀνετράφη ἐν Κωνσταντινουπόλει καὶ παιδείας μετέσχεν ἑλληνικῆς, ἐφ' ᾧ καὶ *Ἡμιέλλην* κοινῶς προςωνομάζετο (3). Ἀλλ' ἡ τοσαῦτα βάρβαρα φῦλα ἐξημερώσασα καὶ ἐξευγενίσασα ἑλληνικὴ παιδεία οὐδαμῶς ἴσχυσε τὴν πονηρὰν τοῦ Βουλγάρου φύσιν μεταβαλεῖν. Υἱὸς πατρῴζων ἐν πᾶσι, καὶ τοῦτ' αὐτό: «κακοῦ κό-

(1) Ζωναρ. Ις', σελ. 184.—Κεδρ. σελ. 501.

(2) Βλέπε Σ. Κ. Οἰκονόμου Προλεγόμενα εἰς τὰ **Φωτίου Ἀμφιλόχια** σελ. λα', καὶ Ἰ. Ν. Βαλέττα σημ. εἰς **Φωτίου ἐπιστ.** ς', σελ. 202, καὶ τοὺς παρ' αὐτῶν εἰς μαρτυρίαν φερομένους συγγραφεῖς.

(3) Βλ. Δουκαγγίου Famil. August. Byzant. καὶ τοὺς ἐκεῖ φερομένους εἰς μαρτυρίαν συγγραφεῖς, σελ. 311. Paris.

ραχος κακὸν ᾠὸν», ἡγεμὼν ἀλαζὼν, ἄνομος, ἄδικος, δόλιος, ψεύστης, ἐπίορκος, ὑβριστὴς, θηριογνώμων, αἱμόδιψος, ἅρπαξ, χρημάτων ἄπληστος καὶ, συνελόντι εἰπεῖν, σκεῦος πάσης κακίας ἀνάπλεων, ἰδοὺ οἷον ἦν, κατὰ τὴν σύγχρονον ἱστορίαν, τὸ ἔκφυλον παίδευμα τῆς Κωνσταντινουπόλεως, ὁ Ἡμιέλλην προσονομαζόμενος· ὅς παρ' ὅλον αὐτοῦ τὸν βίον διετέλεσεν ἀδιαλλάκτως τοῖς Ἕλλησι πολεμῶν καὶ ποταμοὺς χριστιανικῶν αἱμάτων ἐκχέων, οὕτω καλὰ καὶ τῆς μελαίνης ψυχῆς αὐτοῦ ἄξια τὰ τροφεῖα ἀποδιδοὺς τοῖς παιδεύσασιν αὐτὸν καὶ τῷ τοῦ χριστιανισμοῦ φερεσβίῳ φωτὶ τὴν ὁδὸν τῆς σωτηρίας αὐτῷ ὑποδείξασιν. Ἐν ἑνὶ λόγῳ, ὁ τοῦ σκυθογενοῦς τούτου ἡγεμόνος χαρακτὴρ καὶ τὸ ἦθος, ὡς ἐν καθαρᾷ εἰκόνι, καθορᾶται ἐν ταῖς πρὸς αὐτὸν ἓξ πρὸς ταῖς εἴκοσιν ἐπιστολαῖς Νικολάου τοῦ ἁγιωτάτου Κωνσταντινουπόλεως πατριάρχου, ἤτοι τῇ γ' καὶ ε', τῇ ς' μέχρι τῆς ια', καὶ τῇ ιδ' μέχρι τῆς λα', εὐαγγελικὴν ὀμφὴν καὶ φλογερὰν ἅμα φιλοπατρίαν ἀποπνεούσαις. Πάσας δὲ τὰς τοῦ πατριάρχου τούτου ἐπιστολὰς ἐξέδωκε πρῶτος ἐν Ῥώμῃ τῷ 1844 ἐκ βατικανείου χειρογράφου ὁ κλεινὸς καρδινάλις Ἄγγελος Μάϊος ἐν τῇ *Ῥωμαϊκῇ* αὐτοῦ *Σταχυολογίᾳ* (1)· ἐξ ἧς μετείληφεν αὐτὰς καὶ ὁ Migne ἐν τῇ *Πατρολογίᾳ* αὐτοῦ (2).

Ἀθήνησι Νοεμβρίου φθίνοντος ͵αωπγ'.

Α'.

Συμεὼν ἄρχων (*) **Βουλγαρίας Λέοντι μαγίστρῳ πρεσβεύοντι ἐκεῖσε τὴν α' πρεσβείαν.**

Τὴν ἡλιακὴν ἔκλειψιν (1) καὶ τὸν ταύτης καιρόν, οὐ μόνον μέχρι

(1) Spicileg. Roman. Τόμ. Ι', σελ. 161—440.

(2) Τόμ. ΡΙΑ', σελ. 28—392.

(*) Οὕτως ἔτρεψα τὴν ἐν τῷ χειρογράφῳ ἡμαρτημένην γραφήν: **Συμεὼν ἄρχοντι.**

(1) Τῆς ἐκλείψεως ταύτης μέμνηται καὶ ὁ τῇ Θεοφάνους Χρονογραφίᾳ συνημμένος Λέων ὁ Γραμματικὸς [σελ. 477], λέγων ἐπὶ λέξεως: « . . . . **ὥστε νύκτα γενέσθαι ὥρας ἓξ καὶ τοὺς ἀστέρας φαίνεσθαι** » [Πρβλ. καὶ Κεδρην. σελ. 479. **Basil.**]. Συνέβη δὲ τῷ 6' ἔτει τῆς Λέοντος βασιλείας, ἤτοι τῷ 887 Ὀκτωβρίου 20, **κατὰ τὸν Muralt [Essai de Chronograph. Byzant. σελ. 469].**

μηνός τινος, ἑβδομάδος καὶ ἡμέρας, ὥρας τε καὶ στιγμῆς αὐτῆς, ὁ σὸς ἡμῖν προπέρυσι βασιλεὺς μηνύσας ἐφάνη θαυμασιώτατος, ἀλλὰ δὴ καὶ ὅσον χρόνον ἡ σελήνης ἔκλειψις ἐπικρατήσει δεδήλωκεν. Καὶ ἄλλα δὲ τοῦτον λέγουσιν εἰδέναι πολλὰ οὐρανίου κινήσεως φορᾷ. Εἰ δ' ἀληθῆ ταῦτά γε, καὶ περὶ τῆς αἰχμαλωσίας οἶδε· καὶ εἰδὼς εἶπεν ἄν σοι, ὡς ἢ ἀπολυθήσεται παρ' ἡμῶν, ἢ κατασχεθήσεται. Μήνυσον οὖν τῶν δύο τὸ ἕτερον· καὶ εἰ τὴν ἐνδιάθετον ἡμῶν γνώμην γνῷς, ἆθλον καὶ προγνώσεως καὶ πρεσβείας ἕξεις (οἶδε Κύριος), τὸ τὴν αἰχμαλωσίαν λαβεῖν. Ἔρρωσο.

Β'.

Λέων μάγιστρος ἄρχοντι Βουλγαρίας.

Μηνύσας ἔφθης, (1) ἀρχόντων φιλανθρωπότατε, ἃ καὶ μεμήνυκας. Τοίνυν διὰ ζώσης φωνῆς οὐ μηνύομεν· ἐπισφαλεστάτη γὰρ ἡ δι' ἑρμηνέως ἐξ ἑτέρας εἰς ἑτέραν μεθαρμοζομένη φωνή. Τὴν δὲ γραφίδα κινοῦντες προλέγομεν, ὡς τὴν Ῥωμαίων αἰχμαλωσίαν ἀποστελεῖς οὐδαμῶς κατέχων αὐτήν, μᾶλλον δὲ ἀποδώσεις, οὐ δώροις δὲ ἢ τιμήμασι· καὶ τοῦτο ποιήσεις ἀντιμιμούμενος τῷ σῷ θειοτάτῳ πατρί. Τίς γὰρ δυνήσετ' ἂν βιάσασθαί σε πρὸς τοῦτο, τὸν ἐνδιάθετον καὶ αὐθαίρετον ἔχοντα πόλεμον, καὶ τὴν ἀντικαθεζομένην γνώμην κακοῖς; Ἔχεις τὴν πρόγνωσιν, καὶ τελέσεις τοιαῦτα. Ἔρρωσο.

Γ'.

Συμεὼν ἄρχων Βουλγαρίας Λέοντι μαγίστρῳ.

Ἔγνως, ὦ μάγιστρε Λέων, οὐδ' ὅλως τὰ (2) μέλλοντα καὶ ἀπόρρητα, γράψας ἡμῖν, ἃ καὶ γέγραφας. Οἶδε δὲ καὶ ὁ σὸς βασιλεὺς καὶ μετεωρολόγος οὐδαμῶς τὸ μέλλον λοιπόν. Εἶχον οὖν κατὰ νοῦν εἶχον (οἶδε Κύριος), τὸ τὴν αἰχμαλωσίαν ἐξαποστεῖλαι. Τοίνυν οὐκ ἀποστελῶ, ἐπεὶ μὴ τὸ μέλλον ἐπέγνως, μηδ' ἀποσταλῆναι ταύ-

(1) Ἐν τῷ χειρογράφῳ φέρεται ἡ ἡμαρτημένη γραφή: **Ἔφης**·
(2) Ἐν τῷ χειρογρ.: **Τόν**·

την ψευδῶς ἐνόησας, μηδ' ἆθλον προγνώσεως λαβεῖν ἠδυνήθης. Ἔῤῥωσο.

Δ'.

Λέων μάγιστρος Συμεὼν ἄρχοντι Βουλγαρίας.

Εἴπερ γραμματεῖς καλῶς ἀναγινώσκοντας εἶχες, ἀρχόντων φιλανθρωπότατε, εἴπερ τοῖς στιγμὴν προςήκουσαν ποιουμένοις εὐπόρεις, ἔγνως ἂν ἔγνως ἀναλεγόμενος τὴν ἡμετέραν ἐπιστολήν, ὡς τὸ μέλλον γνόντες, δι' αὐτῆς σοι τοῦτο κατεγνωρίσαμεν. Ἔχει γὰρ ὧδε: *Τὴν αἰχμαλωσίαν ἀποστελεῖς οὐδαμῶς κατέχων αὐτήν*. Εἰ τοίνυν οἱ σοὶ μέχρι τοῦ *Ἀποστελεῖς* ἔστιξαν, τὸ δὲ *Οὐδαμῶς* συνῆψαν πρὸς τὸ *Κατέχων αὐτήν*· εἰ τὸ *Ἀποδώσεις* μὴ κακῶς ποιοῦντες, ἄχρι τοῦ ἀρνητικοῦ μορίου διῆλθον στίξαντες, ἀλλὰ τὴν *Οὐ* ἄρνησιν, τὸ *Δώροις δὲ ἢ τιμήμασιν* ἐπιφέροντες ἦσαν, ναὶ δὴ καὶ εἰ τὸ *Ἤτα*, συνδετικοῦ νῦν δύναμιν ἔχον διαζευκτικόν, μηδ' ὁπωςοῦν παρειλήφασιν, ἔμαθες ἄν, ὡς ἄνευ δώρων καὶ τινων τιμημάτων ἐγράψαμεν τὴν αἰχμαλωσίαν ὡς οὐ δώσεις, ἀλλ' ἀποδώσεις. Καὶ ἵνα δηλώσω τὰ λείποντα, εἰ τὸ *Ἀντιμιμούμενος*, καὶ τὸ *Βιάσασθαι*, καὶ τὸ *Αὐθαίρετον*, καὶ τὸ *Ἐνδιάθετον*, καὶ *Τὸν πόλεμον*, καὶ *Τὴν ἀντικαθεζομένην γνώμην κακοῖς*, τὸ μὲν ἀντὶ τοῦ ἴσου, ἀλλὰ μὴ τοῦ ἐναντίου, τὰ δὲ λοιπὰ μὴ περὶ θυμοῦ καὶ πολέμου κακῶς ὑπενόησαν, ἀλλὰ περὶ γνώμης πολεμούσης καὶ καταβαλούσης τὸ σκληρόν τε καὶ ἀφιλάνθρωπον τῆς σῆς προτέρας προθέσεως, εἶχον ἐπαινεῖσθαι ἂν ἔγωγε ὡς γνοὺς τὸ μέλλον τε καὶ ἀπόῤῥητον, καὶ οὐκ ἐπαινεῖσθαι μόνον, ἀλλὰ δὴ προγνώσεως ἆθλον τὴν αἰχμαλωσίαν ἀπολαβεῖν. Ἔχεις τὴν προλεκτικὴν παρ' ἡμῶν δύναμιν, ἣν ἡμεῖς ἐκ τοῦ ἡμετέρου βασιλέως προγνωστικῶς ἠπιστάμεθα. Ἀπόδος τῷ προφήτῃ πατρὶ τὸ ζητούμενον· εἶπας γάρ ποτε περὶ αἰχμαλώτων, εἴ γε μὴ λέληθέ σε, ὡς ἀποστελεῖς αὐτούς, καθὼς οἱ σοὶ νῦν μοι λέγουσιν. Ἔῤῥωσο.

Ε'.

Συμεὼν ἄρχων Βουλγαρίας Λέοντι μαγίστρῳ.

Ὦ μάγιστρε Λέων, οὐχ ὑπεσχόμην περὶ αἰχμαλώτων· οὔ σοι

ἐλάλησά τι· οὐκ ἐξαποστελῶ, καὶ μάλιστα ὡς μὴ τὸ μέλλον γνοὺς καθαρῶς.

ϛ'.

Λέων μάγιστρος Συμεὼν ἄρχοντι Βουλγαρίας.

Ἀνελεξάμην κατὰ (1) χεῖρας τὴν σὴν ἐπιστολήν, ὦ ἀρχόντων μέγιστε, τὴν οὕτω περιέχουσαν: *Οὐχ ὑπεσχόμην περὶ αἰχμαλώτων· οὗ σοι ἐλάλησά τι· οὐκ ἐξαποστελῶ.* Ποιήσομαι οὖν εἰς συγκαταθέσεως γράφειν (2) τὴν τῆς σῆς ἀνανεύσεως ἀφορμήν, τοῦτο μὲν τὸ πρῶτον κῶλον μέχρι τοῦ δευτέρου ἀρνητικοῦ μορίου στίζων ἐπὶ τελείᾳ, οἷον: *Οὐχ ὑπεσχόμην περὶ αἰχμαλώτων οὔ·* ἀντὶ τὸ (3) οὐχ ὑπεσχόμην τὸ *Οὐ*, ἀλλὰ τὸ *Ναί*, μίαν, κατὰ τὸν Σταγειρίτην (4), κατάφασιν τῶν δύο θελουσῶν ἀποφάσεων· τὸ δὲ *Σοὶ ἐλάλησα*, συγκαταθετικῶς ἀνταναγνωστέον, ὡς εἰ ἔλεγες, οἶδας ὅτι κατεθέμην λαλῆσαί σοι· εἶτα τὸ μὲν *Τί* πευστικῶς ἀποδούς, τὸ δὲ *Οὐκ ἐξαποστελῶ*, ἐν εἰρωνείᾳ περιελθὼν ὅλην τὴν δύναμιν τῶν σῶν συλλαβῶν, εἰς τὴν σὴν συνήθη φιλάνθρωπον εὐποιίαν ποιήσαιμι. Ἀλλ' εἴποι τις, ὅτι ἀμφίβολον ἀνάγνωσιν ποιεῖ. Αὐτὸ δὲ τοῦτο κἀγὼ εἴποιμι πρὸς τὸν τοῦτο λέγοντα. Ἀμφίβολον οὖν, ὡς πολλάκις ἀνταναγινωσκόμενον. Εἰ δ' ἀμφίβολον, νικάτω τὸ φιλάνθρωπον. Φιλάνθρωπον δὲ τὸ τὴν αἰχμαλωσίαν ἀπολυθῆναι. Ἀπολυθήτω δή. Ἔχεις γὰρ τὸ δίκαιον μετὰ τοῦ φιλανθρώπου ὑπὸ πάντων σαφῶς μαρτυρούμενον. Εἰ δὲ τὸ ὅλον ἐν ὑποκριτικαῖς ὑποστιγμαῖς διελθεῖν βουλεύσοιτό τις τῆς σῆς ἐπιστολῆς τὸν νοῦν, οὐκ ἄκομψον εὗρε καὶ οὕτως τὴν πρὸς κατάνευσιν ἐπιχείρησιν.

Ζ'.

Λέων μάγιστρος Συμεὼν ἄρχοντι Βουλγαρίας.

Δεξάμενος τὰς ὑπ' ἐμοῦ διττὰς ἀνταναγνώσεις, τὰς ἀποτρεπούσας

(1) Γρ. ἴσ. **Μετά.**
(2) Γρ. ἴσ. **Γραφήν.**
(3) Γρ. ἴσ. **Τοῦ.**
(4) Ἐν ταῖς κατηγορίαις ἴσως.

τὴν ἅπαξ σου καὶ μετ' ἀμφιβολίας ἀνάγνωσιν, δέχου καὶ τρίτην τῶν ἄλλων ἀνομοίαν. Τὸ γὰρ *Οὐχ ὑπεσχόμην*, μετὰ σαρκασμοῦ διελθών, τὸ δὲ *Περὶ αἰχμαλώτων* μέχρι τοῦ *Σοὶ ἐλάλησα*, μετὰ βαρύτητος ἀναγνούς, τὸ λειπόμενον *Τί οὐκ ἐξαποστελῶ*; νοήσω πάντως ἐρωτηματικῶς, ὡς ἅπερ ἔλαβες ἀποστελεῖς ἅπαντα, καὶ οὕτως σοι τὴν ἀφιλάνθρωπον τοῖς ἀμαθέσιν ἐπιστολήν, φιλανθρωποτάτην νοήσαιμεν, ὁμοίαν ἀλλ' οὐκ ἀνομοίαν οὖσαν τῆς σῆς καὶ γνώμης καὶ φύσεως. Ἔρρωσο.

Η'.

Τοῦ αὐτοῦ. Συμεὼν ἄρχοντι Βουλγαρίας.

Οἶδεν, ὦ ἀρχόντων θαυμασιώτατε, οἶδε Θεὸς πρὸς τἀναντία τὴν γλῶτταν παραφέρειν, ὅτι τῆς ἀληθείας προκρίνειν τὸ ψεῦδος βουλοίμεθα, καὶ τῆς φιλανθρωπίας τὸ ἀφιλάνθρωπον· καὶ τοῦτο βίβλοι φέρουσι, καὶ βίος γνωρίζει πολλάκις πράγμασι. Νῦν δὲ οὐ γλῶσσαν μόνον, οὐδὲ τὴν πρὸ ταύτης διάνοιαν, ἀλλὰ καὶ χεῖρα γράφουσαν τὰ μὴ δίκαια εἰς ἑτέραν γραφὴν Θεὸς μετετάξατο. Ἔστι γὰρ καὶ γράφειν ἀναμφιβόλως,κἂν τις βιάζοιτο τὰ γεγραμμένα μεταβάλλειν πρὸς ἕτερον νοῦν· τὸ δὲ δύναμιν ἔχον, ἀντὶ μιᾶς, τρισσῶς ἀναγνωσθῆναι τῆς πρώτης σου κατανεύσεως, ἔστιν ἐκ προνοίας ἔλεγχος, ἣ πᾶσιν ἐφορᾷ, κατὰ τὸν Ποιητήν, (1) εὐνομίαν καὶ ὕβριν. Ἔχεις ἐλέγχοντά σε Θεόν, καὶ αὐτὴν τὴν χεῖρα τὴν ὑπ' αὐτοῦ παρακινηθεῖσαν ἀντ' ἄλλων ἄλλα δι' ἀμφιβολίας κατὰ σοῦ, μᾶλλον δ' ὑπὲρ σοῦ πως γράψασθαι. Ἔρρωσο.

Θ'.

Τοῦ αὐτοῦ. Συμεὼν ἄρχοντι Βουλγαρίας.

Ἔγνων τῆς ἐπιστολῆς, ὦ ἀρχόντων μέγιστε, τὸ ἀπόρρητον, εἰ καὶ κατὰ σὲ τὴν ἀνάγνωσιν ποιησαίμεθα. Φιλεῖς ὡς ἀληθὴς καὶ ζῶν

(1) Ὀδυσ. Ρ, ς. 485—87:

Καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσιν,
Παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι πόληας,
Ἀνθρώπων ὕβριν τε καὶ εὐνομίαν ἐφορῶντες.

ἀρετῇ τὸ πάντως ὑπὸ πάντων πιστεύεσθαι, καὶ δοκιμάζεις πρὸς ὃν καὶ γράφεις. Καὶ εἰ μὲν πιστεύσει τις τὰ μὴ φιλανθρώπως γραφόμενα, ὅτι μὴ νοῦν ἔχει, καὶ ὅτι μὴ χρηστόν σε ὑπέλαβε, δικαίως ἀπεχθανόμενος ὡς ὕβρει πλυνόμενος, οὐδ' ὑπακούεις. Εἰ δ' ἀπιστήσει τὰ οὕτως γραφόμενα, ὅτι νοῦν ἔχων ἐστὶ, καὶ ὅτι χρηστόν σε εἶναι πεπίστευκεν, ὡς τιμώμενος, φιλίᾳ θελγόμενος ὑπακούειν ἐπίστασαι. Ἠπιστήσαμεν οὖν κακόν σε εἶναι, καὶ διὰ τοῦτο φιληθησόμεθα· φιλούμενοι δὲ τὰ ἡμῖν φίλα εὕροιμεν· φίλον δὲ ἡμῖν τὸ τὴν αἰχμαλωσίαν ἀπολυθῆναι. Ἔρρωσο.

Ι'.

Τοῦ αὐτοῦ. Συμεὼν ἄρχοντι Βουλγαρίας.

Διπλοῦς ὁ ἄνθρωπος, ὦ ἀρχόντων μέγιστε, ἐκ σώματος φημὶ καὶ ψυχῆς. Διπλοῦς δὲ καὶ ὁ λόγος, ὁ μὲν προφορικὸς καὶ ἐγγράμματος, ὁ δὲ νοερός τε καὶ ἐνδιάθετος. Ἔνθα δὴ ἔνθα ὁ προφορικὸς καὶ ἐγγράμματος ἀκολουθεῖ τῷ ἐνδιαθέτῳ καὶ ψυχικῷ, ἀληθεύειν πιστεύσοιμεν, καὶ πιστεύσητε (1) στέρξοιμεν· ὅπου δὲ μὴ ἀκολουθεῖ, ἀπιστήσομεν καὶ ἀποπεμψόμεθα. Τοίνυν μὴ ἀκολουθοῦντι τῷ ἐνδιαθέτῳ καὶ νοερῷ τὸν προφορικὸν καὶ ἐγγράμματον ἐπιγνόντες, μὴ στέρξαντες ἀνανεύομεν. Ἀλλ' εἴποι τις, πῶς γινώσκεις τὸν ἐνδιάθετον; Ἐκ τῶν χρηστῶν πράξεων, εἴποιμι ἄν. Ὅπου δὲ χρησταὶ πράξεις ἀνδρός, χρηστὰ νοεῖται καὶ τὰ γραφόμενα. Εἰ δὲ χρηστὸς μὲν κατὰ ψυχὴν ὁ πέμψας, καὶ τοῦτο μετὰ τῶν πραγμάτων πάντες ὁμολογοῦσι, μὴ χρηστὰ δὲ τὰ ποτὲ καὶ ἅπαξ γραφόμενα, δοκιμασίαν ἀλλ' οὐκ ἀλήθειαν, καὶ παιδιὰν ἀλλ' οὐ σπουδὴν ἢ σφάλμα τοῦ τὸ γράμμα γράψαντος, ἀλλ' οὐχὶ τοῦ τὸ γράφειν προστάξαντος εἴποιμεν· οὐδεὶς γὰρ τῶν καλῶν αὐτὸς ἑαυτῷ οἶδε μάχεσθαι, οὐδὲ τὸν προφορικὸν τοῦ ἐνδιαθέτου φέρειν πολέμιον, οὐδὲ τῆς ὁσημέραι πράξεως τὴν τινὰ πρᾶξιν καὶ ἰδιάζουσι (2)· τοῦτο γὰρ τῶν στασιαζόντων ἐκ κακίας πρὸς σφᾶς τε αὐτοὺς καὶ ἄλλους. Ἔρρωσο, ἔρρωσό μοι ὁ μὴ διπλοῦς (3) τῷ λόγῳ καὶ διπλοῦς τῷ κράματι.

(1) Γρ. ἴσ. **Πιστεύσαντες.**
(2) Διέστραπται τὸ χωρίον προδήλως.
(3) Τὸ χειρόγρ. **Διπλοῦν.**

ΙΑ΄.

Τοῦ αὐτοῦ. Συμεὼν ἄρχοντι Βουλγαρίας.

Τὸ λευκὸν καὶ καθαρόν, ὦ ἀρχόντων μέγιστε, ὅπερ εἰς βάθος μὲν φυσικῶς ἔχεις, γνώμῃ δὲ κυροῖς καὶ αὐξάνεις ὅσαι ἡμέραι, ὑπὸ γραμμάτων τῶν (1) ἐκ μέλανος νικηθῆναι οὐ δύναται· τὸ μὲν γὰρ σύμφυτόν τε καὶ δυςαπόβλητον· τὸ δὲ τέχνῃ σὺν ἐπιτηδειότητι ἐγγιγνόμενον, καὶ διὰ τοῦτο ἐξίτηλον καὶ ὕδατι ἐκπλυνόμενον. Εὖ οἶδα, μενεῖ τὸ φυσικόν, ἀπαλειφθήσεται (2) δὲ τὸ θέσει καὶ τεχνικὸν τῆς τοιαύτης γραφῆς· οὐδὲ γὰρ ὕαλος νικῆσαι δύναται τιμίου λίθου διαύγειαν, οὐδὲ βαφὴ ἄνθος, οὐδ' εἰκὼν ζῷον, οὐδ' οἶκος οὐρανόν. Οὕτως οὐδὲ γράμμα τὸ ἐκ μέλανος νικήσει, ὅπερ φθάσας κατὰ ψυχὴν ὁ λόγος ἐδήλωσεν, ἐπεὶ μὴ δύναται τὰ θέσει καὶ τέχνῃ ἕξιν καὶ φύσιν νικῆσαι. Ἔρρωσο.

ΙΒ΄.

Τοῦ αὐτοῦ. Συμεὼν ἄρχοντι Βουλγαρίας.

Θαῤῥεῖς πρὸς ἀλήθειαν, ἀρχόντων ὁ ἀληθέστατος, θαῤῥεῖς πρὸς τὰ ἐπαινετά· θέλεις δὲ καὶ τὸ σὸν οὐχὶ ἐν ἴσῳ τοῦ τῶν ἄλλων πιστεύεσθαι· ναί, καὶ τὴν δοκοῦσαν κατὰ παιδιὰν ἄρνησιν, ὁμοίαν εἶναί τε καὶ νομίζεσθαι τῆς ἑτέρων ἀληθοῦς κατανεύσεως. Δείκνυται οὖν ἡ ἐπιστολὴ ἀληθεύουσα πράγματι, κἂν δοκῇ τὸ ψεύδεσθαι γράμματι, ἵν' ᾗ ὑπὲρ τὴν τῶν ἄλλων ὑποπτευομένην ἀλήθειαν ἡ σὴ σοφῶς ὑποπαίζουσα καὶ κωμικευομένη ψευδομυθία. Καὶ τοῦτο θαυμαστόν, καὶ τοῦτο γέμον φιλανθρωπίας, ἵνα, εἰ δοκῶν ψεύδεσθαι ἀληθεύεις, ἐπαληθεύοντός σου τίς ἔσται ὁ πιστεῦσαι δυνάμενος ὡς ψεύσῃ πώποτε; Ὦ ψεύδους ἐγγραμμάτου, ἀληθείας ἐμπράκτου γέμοντος! Οὕτω δοκῶν ψεύδεσθαι ἀληθεύεις, καὶ ἀληθεύων οὐκ εἰς ψεῦδος αὖθις ἀποκλίνεις. Ἔρρωσο.

(1) Τὸ χειρόγρ. **Τόν**.
(2) Τὸ χειρόγρ. **Ἀπολειφθήσεται**.

ΙΓ'.

Λέων μάγιστρος ἀνθύπατος πατρίκιος Συμεὼν ἄρχοντι Βουλγαρίας.

Μεμήνυκας τῷ σῷ πατρί τε καὶ βασιλεῖ (1), ὡς ἀποστελεῖς ἣν ἔχεις αἰχμαλωσίαν, καθὼς ἄρτι μανθάνειν ἔχω. Ἔγραψας δὲ καὶ ἡμῖν, ὡς οὐκ ἀποστελεῖς, ἵνα καὶ κατὰ σὲ ταύτην ἀναγνόντες νοήσωμεν. Τήρησον οὖν τὴν πρὸς τὸν σὸν πατέρα φιλανθρωποτάτην ὑπόσχεσιν, ἀλλὰ μὴ τὴν πρὸς τὸν ἐκείνου δοῦλον, ὡς ἐγῷμαι, παίζουσαν ἄρνησιν, ὁμοῦ μὲν ἐπάξια τελῶν τῆς σῆς ἀρετῆς, ὁμοῦ δὲ τὸ καλὸν καὶ πρῶτον ὑπὸ τοῦ ἐσχάτου καὶ κακοῦ μὴ νικᾶσθαι βουλόμενος. Οὕτω γὰρ σεαυτὸν καὶ τὸν πατέρα δείξεις πάντως ἀνύβριστον, καὶ μισθὸν ἀγήρω κληρονομήσεις· ἡμᾶς δὲ οὐ μόνον ἀλύπους ὡς μὴ παραγκωνισθέντας δείξεις, ἀλλὰ καὶ καλῶς πρεσβευσαμένους τιμὴν προξενήσεις. Ἔρρωσο.

ΙΔ'.

Λέων μάγιστρος ἀνθύπατος καὶ πατρίκιος Συμεὼν ἄρχοντι Βουλγαρίας.

Ἐδεξάμην σου τὴν ἐπιστολὴν, κατὰ τὴν ἀρχὴν τὸν σταυρικὸν τύπον οὐ περιέχουσαν συνήθως, καὶ θαυμάζω τῆς σῆς ἀληθείας τὸ μέγα καὶ περιβόητον, πῶς τῷ ἀμφιβόλῳ τῆς μικρᾶς ἐκείνης γραφῆς, καὶ τῷ μὴ προχαραχθέντι κατὰ τὴν ἀρχὴν τύπῳ, τὸ μὴ ἀληθὲς αὐτῆς ἠρέμα πως ὑπεδήλωσας. Πιστεύσομεν οὖν τοῖς προγεγραμμένοις, ὅτι μὴ μόνον φιλανθρωπότατα καὶ ἀναμφίβολα καὶ πρὸς πατέρα καὶ βασιλέα, ἀλλ' ὅτι κἂν τὸ κατ' ἀρχὴν, ὡς ἔθος, ἐσταυρωμένα· ἀπιστήσομεν δὲ ταύτην σου τὴν ἐπιστολὴν, μᾶλλον δὲ τὴν κατὰ παιδιὰν μικρὰν ἀναβολὴν, ὅτι τἀναντία πάντα τῆς προτέρας κεκτημένη φαίνεται.

(1) Τιμητικῶς πατέρα λέγει τὸν βασιλέα, ὅπως κἂν ταῖς προηγουμέναις β' καὶ δ', ἅτε δὴ βασιλέως ὄντος τοῦ ἐν τῷ βαπτίσματι τὸν Συμεὼν ἀναδεξαμένου.

ΙΕ'.

Λέων μάγιστρος ἀνθύπατος καὶ πατρίκιος Λέοντι αὐτοκράτορι. Ἀπὸ ἐξορίας.

Λεπρωθεὶς οὐκ ἀπὸ γνώμης ἢ φύσεως, ἀλλ' ἐκ ψευδοῦς κωμῳδικῆς ἀδίκου γραφῆς, ὡς χρηστῷ τῷ Χριστοῦ μαθητῇ καὶ κεχρισμένῳ παρὰ Χριστοῦ, μὴ ἐνδυάζων καταφεύγω, καί, οἶδα, καθαρισθήσομαι, καὶ ὅτι τοῦτο πιστεύω, σωθήσομαι, καὶ εἰς οἶκον τῆς σῆς βασιλείας, ὡς εἰς Θεοῦ ναόν, εἰςελεύσομαι, καὶ τῶν οὕτως τὸ ἀνεύθυνον γῆρας ἡμῶν ὡς ὑπεύθυνον εἰςαγγειλάντων, ἔξω μὲν βασιλείων, ἔνδον δὲ δημίων καὶ ποινῶν ἐπόψομαι.

Ις'.

Λέων μάγιστρος ἀνθύπατος καὶ πατρίκιος Λέοντι αὐτοκράτορι Ῥωμαίων.

Λύει μοι τὸ δέος μετὰ τοῦ σοῦ δικαίου καὶ τὸ παῤῥησίας ἀνέχεσθαι, δέσποτα, καὶ ἀνέχεσθαι κατὰ Μαρκιανόν τε καὶ Μάρκον, ὡς ἔχω κρίνειν ὀρθῶς, τῇ πείρᾳ τοῦτο μαθών. Τί μοι βούλεται ταῦτα, ὦ ἱερὰ βίου παντὸς κεφαλή; Ἐπίστευον, ἵν' ἐντεῦθεν ἄρξωμαι, *γέρας ἀκίνδυνον εἶναι*, κατὰ τὸν λόγον (1), *τὴν σιωπήν*. Ἐπίστευον, φεῦ ὁ μάταιος! ὑπ' ἀρχαιότητος τρόπου, φθόνου καθαρεύων παντός. Ὅθεν σιωπήσας τὸ ἀληθεῦσαι, ὑπὸ τῶν τὰ ψευδῆ πλαττόντων νενίκημαι, καὶ προλαβεῖν ἐκ μεγαλοψυχίας ἢ μᾶλλον εἰπεῖν ἀνοίας, μὴ βουληθεὶς κατ' ἐχθρῶν, παρὰ προλαβόντων ἐχθρῶν μικροῦ δεῖν τὴν ἧτταν ἀπηνεγκάμην, ἐχθρῶν τριςαθλίων τὴν κακουργίαν ἐμοὶ (2), καὶ δυςμηχάνων ἄνωθεν εἰς δόλου γραφάς· ἐχθρῶν τῶν τὸ βαρὺ καὶ ἀμειδὲς μὴ χαλώντων πώποτε κατ' ἐμοῦ, μηδὲ τὸ *ταυρηδὸν ὑποβλέ*-

(1) **Ἔστι καὶ τὸ σιγῆς ἀκίνδυνον γέρας.** Τουτὶ τὸ ἔπος Στοβαῖος μὲν εἰς Ἀθηνόδωρον ἀναγράφει [Ἀνθολ. λγ', 5], ἄλλοι δ' εἰς Σιμωνίδην ἀναφέρουσι τὸν Κεῖον [Βλ. Leutsch σημ. εἰς τοὺς Ἕλληνας Παροιμιογράφους, τόμ. Β', σελ. 422].

(2) Παραλελεῖφθαί τι δοκεῖ ἀβλεψίᾳ τοῦ ἀντιγραφέως.

πειν (1), μηδὲ *Σισυφείους δόλους* (2) κινεῖν, μηδὲ ψιθυρίζειν ψευδῶς, μηδὲ λαλεῖν καὶ περιλαλεῖν εἰς ὦτα πολλῶν, ἵνα τέχνῃ τὴν φήμην τρέχειν ποιήσωσι πανταχοῦ. Οὕτως, ἵν' αὖθις εἴπω, λέγειν ὀκνῶν, τὸ μὴ ἔχειν πράγματα μηδὲ θορυβεῖν σου τὸ κράτος, εἰς πραγμάτων πλῆθος καὶ θορύβους ἐνέπεσον, ἀλλ' οὐ τῶν προλαβόντων εἰς τέλος τὰ δίκαια, οὐδ' ἡ κατάκρισις τοῦ πιθανῶς καταιτιαθέντος· ὧν αἰτιῶν καὶ κενῶν λοιδοριῶν, εἰ μὴ δεικνύων ἢ ἀπομνύων τὸ πλῆθος ἀποδυσαίμην, ἑκὼν καταλευσθῆναι βουλοίμην ἄν· οὐδὲ γὰρ ἐμαυτῷ κακόν τι σύνοιδα· μαρτυρεῖ μοι τὸ συνειδός, καὶ μετὰ τούτου θεομήτωρ ἡ πολιοῦχος. Οὕτως *Σαθρὸν πανταχοῦ*, κατὰ τὴν παροιμίαν (3), τὸ ἤπιον· οὕτως τὸ κακοῦργον δραστήριον, ἐξ ὧν κατεκρίθην τὴν ὑπερορίαν ὁ γέρων φεῦ! ὁ γέρων ἐγώ· τὸν ἔφιππον δρόμον ὁ ἀσθενής· ὁ ἀσθενής, οἴμοι! τὴν πέτραν τὴν ὑψηλήν, καὶ φερώνυμον, καὶ ξηράν· ὁ ξηρανθεὶς ὁδῷ, καὶ πόνῳ, καὶ χρόνῳ, καὶ λογισμῷ πρεσβειῶν· ναί, τὴν φερώνυμον, καὶ ἄποπτον, καὶ ἄτοπον, καί, κατ' Εὐριπίδην εἰ-

(1) Τοῦτο περὶ Σωκράτους φησὶ Πλάτων, ὅτι **ταυρηδὸν ὑπέβλεψεν** ὥςπερ εἰώθει, πρὸς τὸν ὀρέξαντα αὐτῷ τὴν κύλικα στρατιώτην τῶν Ἕνδεκα [Φαίδ. τόμ. Α', σελ. 154. Teubn.]. Καὶ Αἰσχύλον δ' Ἀριστοφάνης **ταυρηδὸν βλέποντα** παρίστησιν, ἔνθα ὁ Σχολιαστής: «Τοιοῦτος γὰρ τῷ σχήματι ὀργιζόμενος Αἰσχύλος» [Βάτρ. ς. 804].

(2) **Σισύφου μηχαναὶ** ἀπαντᾷ παρ' Ἀριστοφάνει [Ἀχαρν. ς. 391], ἔνθα ταῦτα φησὶν ὁ Σχολιαστής: «Δριμύν τινα καὶ πανοῦργον παραδεδώκασιν οἱ ποιηταὶ τὸν Σίσυφον, διὰ μιᾶς λέξεως παρ' Ὁμήρου δεδιδαγμένοι [Ἰλ. Ζ, ς. 153]:

Ἔνθα δὲ Σίσυφος ἔσκεν, ὃς κέρδιστος γένετ' ἀνδρῶν».

Καὶ τῶν μὲν δόλων καὶ μηχανῶν αὐτοῦ τὰ καθ' ἕκαστον πλατύτερον διέξεισιν ἡ μυθολογία· τὴν δὲ παρὰ τῶν θεῶν καταγνωσθεῖσαν αὐτοῦ ἐν τῷ Ταρτάρῳ ποινὴν περιέγραψεν ἡ θεσπεσία τοῦ αὐτοῦ ποιητοῦ γραφὶς ἐν τοῖς ἀμιμήτοις ἐκείνοις στίχοις [Ὀδυσ. Λ, ς. 593—600]:

Καὶ μὴν Σίσυφον εἰςεῖδον κρατέρ' ἄλγε' ἔχοντα,
Λᾶαν βαστάζοντα πελώριον ἀμφοτέρῃσιν.
Ἤτοι ὁ μὲν σκηριπτόμενος χερσίν τε ποσίν τε
Λᾶαν ἄνω ὤθεσκε ποτὶ λόφον· ἀλλ' ὅτε μέλλοι
Ἄκρον ὑπερβαλέειν, τότ' ἀποστρέψασκε κραταιΐς·
Αὖτις ἔπειτα πέδονδε κυλίνδετο λᾶας ἀναιδής.
Αὐτὰρ ὅγ' ἂψ ὤσασκε τιταινόμενος, κατὰ δ' ἱδρὼς
Ἔῤῥεεν ἐκ μελέων, κονίη δ' ἐκ κρατὸς ὀρώρει.

Ἐντεῦθεν καὶ Δερκυλλίδας ὁ Λακεδαιμονίων στρατηγὸς **Σίσυφος** ἐπεκλήθη, διὰ τὸ τοῦ τρόπου μηχανικὸν καὶ πανοῦργον [Ξενοφ. Ἑλλην. Γ', α', 8].

(3) Ἄγνωστος, ἔμοιγε οὖν ἡ παροιμία.

πεῖν (1), *ὑψηλόκρημνον*· τὴν ὀλέθρους ἔχουσαν καὶ εἰς ᾅδου φέρουσαν· τὴν ἄψαλτα καὶ ἀνέορτα πάντα μοι δείξασαν· τὴν πικρὰν καὶ αὐτοῖς πτηνοῖς φοβεράν· ἣν περιερρώγασι φάραγγες· ἣν περιστοιχοῦσι τένοντες, καὶ οὗτοι τραχεῖς, καὶ οὗτοι βαραθρώδεις· ἐν ᾗ καὶ θηρίων τὰ ἀλτικὰ πάντως ἀθήρευτα τῷ δυςκόλῳ ταύτης εἰσίν. Ἔστι καὶ ταῦτα· τρέμω ἐκ ταύτης καὶ παλλόμενος λήγω· ἐφ' ἧς λιθοφόρος ὁδός ἐστι στενή τε καὶ δυςέμβατος, ἀμφίκρημνός τε καὶ ἀμφιτάλαντος· ἣ καὶ πρὸ τοῦ πεσεῖν ὄψει μόνῃ λύει τὸν βλέποντα· πέτραν ἐκείνην, ἣν προὐξένησάν μοι ἐχθροί, ἰδίους ἀγροὺς πρὸς τοὺς πρόποδης ταύτης ἔχοντες, ἵν' ἔχω κἀν τούτῳ ἐπιπληκτίζεσθαι· πέτραν τὴν τὸ ὠχρὸν ἐπιβαλοῦσαν ἐπὶ τῷ εἴδει μου, τὴν τὸ καλῶς βλέπειν καὶ ἀκούειν ἐμὲ στερήσασαν. Ἐξώλεις ἀπόλοιντο οἱ κατάρατοι καὶ ψευδεῖς κατήγοροι, οὓς ἴδοιμι ἀνακηρυττομένους, ὦ πάντων Κύριε, τὴν ἐπὶ θανάτῳ ὑπὸ δημίων· οἱ κατάρατοι καὶ ἀεί, κατὰ τὴν παροιμίαν, *κρητίζοντες* (2)· οἱ Τελχίνων βασκάνων (3) βαρύτεροι, οἱ σκαιὰ καὶ πᾶσι φρονοῦντες ἐχθρά· οἱ μὴ δεξιοὶ τοῖς τρόποις ποτέ· οἱ δεινοὶ τοῖς σκέμμασι καὶ καταφλυαροῦντες ἀνύπαρκτα· οἱ ἐξεστηκότες, καὶ μεμηνότες, καὶ δεόμενοι ἐλλεβόρου, οὐ τοῦ κοινοῦ, τοῦ δὲ ἀπὸ Φωκί-

(1) Ἡ φράσις ἀπαντᾷ παρ' Αἰσχύλῳ [Προμ. Δεσμ. ϛ. 5]:

. . . . Τὸν δε πρὸς πέτραις
Ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι.

Ἐκ τούτων δὲ τῶν λόγων τοῦ Λέοντος εἰκάσειεν ἄν τις, ὅτι τῆς ὑπερορίας αὐτοῦ τόπος ἦν ἡ **Ὑψηλὴ** πόλις κειμένη κατὰ τὸ Χαρσιανὸν λεγόμενον θέμα, πρὸς τὰ τῆς Καππαδοκίας μεσόγεια [Κωνστ. Πορφυρογ. Περὶ θεμ. σελ. 6. — Κεδρην. σελ. 1051]. Ἐπειδὴ δὲ ἡ πόλις αὕτη ἑάλω ὑπὸ τῶν Ἀγαρηνῶν, καὶ πάντες οἱ κάτοικοι ᾐχμαλωτίσθησαν [Λέων Γραμ. σελ. 475. — Κεδρην. ἔνθ. ἀνωτ.], τὸ δὲ συμβὰν τοῦτο τίθησιν ὁ Muralt τῷ 887 ἔτει [Essai de Chronograph. Byzant. σελ. 468], εἰκὸς τὴν Λέοντος ὑπερορίαν μικρῷ πρότερον γενέσθαι.

(2) «**Κρητίζειν**: ἐπὶ τοῦ ψεύδεσθαι καὶ ἀπατᾶν ἔταττον τὴν λέξιν, καὶ φασὶν ἀπὸ τοῦ Ἰδομενέως τοῦ Κρητὸς τὴν παροιμίαν διαδοθῆναι. Λέγεται γὰρ διαφορᾶς ποτὲ γενομένης τοῖς ἐν Τροίᾳ Ἕλλησι περὶ τοῦ μείζονος, καὶ πάντων προθυμουμένων τὸν συναχθέντα χαλκὸν ἐκ τῶν λαφύρων πρὸς ἑαυτοὺς ἀποφέρεσθαι, γενόμενον κριτὴν τὸν Ἰδομενέα, καὶ λαβόντα παρ' αὐτῶν τὰς ἐνδεχομένας πίστεις ἐφ' ᾧ κατακολουθῆσαι τοῖς κριθησομένοις, ἀντὶ πάντων τῶν ἀριστέων ἑαυτὸν προτάξαι. Διὸ λέγεσθαι τὸ **Κρητίζειν**» [Ζηνοβ. Παροιμ. Δ', 62].

(3) Οἱ Τελχῖνες, κατὰ Νικόλαον τὸν Δαμασκηνόν, Κρῆτες ἦσαν τὸ ἀνέκαθεν, βάσκανοί τε σφόδρα καὶ φθονεροὶ [Παρὰ Στοβ. ΛΘ', 56.—Πρβλ. καὶ Σουΐδ. ἐν λέξει, καὶ Εὐστάθ. εἰς Ἰλ. I, ϛ. 525, σελ. 771. Rom.].

δος (1). Ἀπόλοιντο, ναὶ Κύριε, καὶ φθαροῖεν μετὰ τῶν πολυαγκίστρων δελεάτων καὶ ἀκατανοήτων σκανδάλων αὐτῶν· οἳ ἐκείνην μοι τὴν πέτραν προὐξένησαν, ὡς λίθου τὴν γνώμην ὄντες τραχύτεροι. Οὐδὲ γὰρ ἐγὼ τὴν ἀρετὴν κατὰ Στέφανον (2), ἵν' εἴπω τἀναντία. Λέξω βούλει τὰ λείποντα; ἀλλ' ὅρα μὴ πάθῃς τὴν ψυχήν· τοὺς ἀνδρολογουμένους καθ' ὑπαλλαγὰς περὶ τὴν πέτραν φρουρούς, ὧν οἱ μὲν ἦσαν θηριοτροφοῦντες ὀργήν, οἱ δὲ κεχαρωμένοι θυμῷ. Καὶ οἱ μέν, ὥσπερ *σκορπίους ἀκρατισάμενοι* (3), οἱ δέ, ῥᾴδιοι πρὸς ἀναισχυντίαν τῷ ὀφθαλμῷ. Καὶ οἱ μέν, βορείων βαρβάρων πάντως σκυθικώτεροι, οἱ δέ, μηδὲ καταπλάττεσθαι δυνάμενοι τὴν χρηστότητα, ἀλλὰ γελῶντες τὴν ἐμὴν ὀργήν, ἀλλὰ παιδιὰν τὴν λύπην ποιούμενοι. Ἐῶ τὸ συχνῶς ὑπὸ τούτων περισοβεῖσθαί με, καὶ εἶναι πενήτων πάντων κακώτερον, καὶ πᾶσι κατὰ πάντα τοῖς βουλομένοις, πλὴν ῥαπισμάτων καὶ κονδύλων, ἐκκείμενον. Ἐῶ τὴν ἀλουτίαν, τὴν χαμευνίαν, τὸ διψῆν καὶ αὐτὸν τὸν ὀξίνην οἶνον καὶ ἐντροπίαν, τὸ πεινῆν καὶ αὐτὰς τὰς ἐκ κριθῶν μάζας, καὶ τέλος τὴν ἀπορίαν καὶ τὸν στενὸν κομιδῇ βίον ἐκεῖνον τὸν ὄντως ἀβίωτον, ἐν ᾧ ἦν ἄπορα τὰ ἐμά, ἐφ' ᾧ οἰχητέον ἦν εἰς ᾅδου καλόν, ἢ τὸν ἄδηλον ὁσημέραι θάνατον παρεκδέχεσθαι. Ὢ τύχη, ἥ με κεκλήρωσαι, μᾶλλον δὲ ἁμαρτία! Πῶς εἴπω τὴν τῶν οἰκείων στέρησιν, τὴν τῶν φίλων, τὴν τῶν θεραπόντων, ὑπέρφευ! αὐτῆς τῆς ἐπιληπτιζούσης συζύγου, ἣν οὐκ ἀπερριμμένην καὶ τῶν ἀσήμων ἠγαγόμην! (4), ἧς ἐν ἔτεσιν ἓξ ὅλοις ἤδη νοσηλεύων τὸ πάθος πάσχω οἷα ἐπὶ τῷ Ὀρέστῃ ἡ ἀδελφή, ἢ ἐπὶ τῇ Κασσάνδρᾳ ἡ μήτηρ Ἑκάβη καὶ ὁ πατὴρ Πρίαμος! Τί δεῖ τὸ τῶν ἀκουσμάτων λέγειν βαρύτερον, τὴν ἁρπαγὴν τῶν ἐμῶν σκεμμάτων φημί; (5) Ὢ σοφία, καὶ

(1) Δηλονότι τοῦ ἐξ Ἀντικύρας πόλεως Φωκικῆς· ἄριστος γὰρ τῶν ἄλλων ὁ ἐντεῦθεν ἐλλέβορος, κατὰ Διοσκορίδην [Περὶ ὕλ. ἰατρ. Δ', ρμθ'.—Πρβλ. καὶ Στράβ. Θ', γ'. § 3. Κορ. καὶ Θεοφρ. Φυτ. ἱστορ. Θ', 9].

(2) Λιθοβολούμενος γὰρ ὑπὸ τῶν Ἰουδαίων ὁ Στέφανος ἐφώνει ὑπὲρ τῶν λιθαστῶν αὐτοῦ: **«Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην»** [Πράξ. Ζ', 60].

(3) Παροιμιωδῶς εἴρηται τοῦτο, καὶ ἔστι παραπλήσιον τῷ: **Σκορπίους βέβρωκεν**· ἐπὶ τῶν ὀργίλων [Ἴδ. Μακαρ. Ῥοδωνιὰν Ζ', 72, ἐν τοῖς τοῦ Leutsch Ἕλλησι Παροιμιογράφοις, τόμ. Β', σελ. 208].

(4) Ἐκ τοῦ Ἀλκίφρονος Α', 6 : **«ἠγάγου με οὐκ ἀπερριμμένην οὐδὲ μίαν τῶν ἀσήμων.»** Ἐκ τοῦ αὐτοῦ δὲ συγγραφέως καὶ ἰδίως ἐκ τῶν ἐπιστολῶν Α', 8. 20 ἐλήφθησαν καί τινες τῶν ἀνωτέρω εἰς τὸ στενόν τοῦ ἐν ὑπερορίᾳ βίου ἀναφερομένων φράσεων·

(5) **Ὑπαινίττεται ἴσως τὰ πονηθέντα αὐτῷ οἱαδήτινα συγγράμματα.**

λόγοι, καὶ νόμοι πολιτικοί! Καλὸν γὰρ καλὸν, τραγικώτερον καταδακρυσάμενον ἀποκλαύσασθαι τὰ ἐμά. Εἴπω τι κελεύεις τῶν σῶν καὶ παρὰ πᾶσιν ἐπαινουμένων; Αὐτοκράτορ αὔγουστε, ἐν τοῖς μεγάλοις βασιλεῦσι τέταξαι, ἐν τοῖς σοφοῖς, ἐν τοῖς θαυμαζομένοις, ἐν τοῖς ἀτυχήματα φέρειν δυναμένοις τῶν ὑπὸ χεῖρα. Πόθεν οὖν, πόθεν, ὦ δικαιότατος, ἐφάνης μόνῳ ἐμοὶ τοῦ δικαίου δικαιότερος, καὶ τοῦ κανόνος ἰθύτερός τε καὶ ἀκριβέστερος, μηδὲν καταλιπὼν εἰς ἐξέτασιν τοῖς ἐκεῖθεν δικαιωτηρίοις Θεοῦ; ἀπὸ γλωσσῶν; ἀλλ' οἶδας, ὡς πολύστροφος γλῶσσα μερόπων ἀνθρώπων, κατὰ τὸν Ποιητήν (1)· ἀλλ' ἐκ φθονούντων ; καὶ κατενόησας ὡς : *Φθόνος εἴργει τὰς εὐτυχίας*, κατὰ τὸν τραγῳδόν (2)· ἀλλ' ἐκ μισούντων ; καὶ ψάλλεις καταπαννυχίζων, ὡς ἔστι καὶ *μῖσος ἄδικον*, κατὰ τὸν λυρῳδόν (3)· ἀλλ' ἀπὸ γαμβροῦ νεογάμου καὶ φιλοπλούτου, καὶ τὴν πρεσβευτικὴν ἀπουσίαν, καὶ τὴν νῦν ὑπερορίαν περιουσίαν ἰδίαν ἀδίκως οἰομένου ; τὸν πατροκτόνον Ἀβεσσαλὼμ (4) ἐνθυμήθητι, ἵνα μὴ λέγοιμι τὰ παρ' ἀδελφῆς κατ' ἀδελφοῦ, καὶ τὸν φθόνον, καὶ τὴν λέπραν, καὶ τὴν μόλις ἴασιν· ἀλλ' ἀπὸ δούλων; οὐκ ἤκουσας τὰ τοῦ κυριοκτόνου Ἱεροβοάμ (5) ; οἶδα, ἤκουσας· οὐκ ἀνέγνως Ἑρμογένους λέγοντος : (6) « *Φύσει γὰρ ἐχθρὸν τὸ δοῦλον τοῖς δεσπόταις* » ; ἐπίσταμαι ὡς ἀναγνοὺς ἐπέγνως τὰ μάλιστα. Τί δέ ; Βλέπεις πάντως καὶ τὰ καθ' ἡμέραν ὑπ' εὐεργετουμένων τῶν σῶν δούλων τῇ σῇ βασιλείᾳ κατατυρευόμενα. Οἶδα, συνῆκας βλέπων. Μέχρι τίνος οὖν ἐξ ὁμοίων ὑπερόριος ἔσομαι, νῦν μὲν τῆς πατρίδος, νῦν δὲ τῆς τιμῆς, καὶ νῦν μὲν τῶν δωρημάτων, νῦν δὲ τῆς θέας τῆς σῆς ; Ἔφυγε καὶ Ἀριστείδης, ἀλλ' ἐπανῆλθε· καὶ Ξενοφῶν, ἀλλ' ἐσέσωστο· καὶ Θεμιστοκλῆς ἐν ἀλλοτρίοις, ἀλλ' ἐτιμήθη τὰ μέγιστα· καὶ Δημοσθένης, ἀλλ' ὁ φθόνος αἴτιος. Δέ-

(1) Ἐννοεῖ ἴσως τὸν στίχον τοῦτον [Ἰλ. Υ, ϛ. 248] :

Στρεπτὴ δὲ γλῶσσα ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι
Παντοῖοι . . . .

(2) Ἄδηλος ἔμοιγε οὖν ὁ τραγικὸς ποιητής, ἐξ οὗ τὸ ἔπος μετείληπται· καὶ ἴσως ἐστὶν ἔκ τινος τῶν ἀπολωλότων δραμάτων.

(3) Τὸν Δαβὶδ δηλονότι [Ψαλμ. κδ', 20].

(4) Βλ. Β' Βασιλ. ιέ — ιθ'.

(5) Βλ. Γ' Βασιλ. ιϐ' — ιγ'.

(6) Ἐν τῷ περὶ τῶν στάσεων γ' [Βλ. Rhetor. Graeci τόμ. II, σελ. 144. Teubn.].

χου δὴ καὶ αὐτὸς, αὐτοκράτορ, δέχου καὶ ἀποδέχου τὴν δέησιν, καὶ σῶζε καὶ περίσωζε, σωτὴρ φανεὶς ὡς ἐκ μηχανῆς ἀνεξίκακος. Ναί, σῶζε· οὐδὲ γὰρ ἄμισθον τὸ εὐποιεῖν ἐκ Θεοῦ. Οὐδὲ τὰ δάκρυά μου κατελεεῖς τὰ πολλὰ πολλάκις χεόμενα; οὐδὲ πρὸς συμπάθειάν σε τὸ ἀκερσοκομεῖν καλεῖ; οὐδὲ τὸ φθειριᾶν ὑπὲρ τὸν Καλλισθένην (1); οὐδὲ τὸ αὐχμεῖν ὑπὲρ Ζήνωνα (2); οὐδὲ τὸ ὑδεριᾶν ἐξ ἀκινησίας ἐν ἴσῳ τῷ Φιλοκτήτῃ (3); οὐδὲ τὸ ἄμισθον τῶν τοσούτων ἐτῶν; Φιλανθρωπεύθητι παρακαλούμενος ὑπὸ τῆς σῆς φιλανθρωποτάτης ψυχῆς, καὶ ἀνακάλεσαι τὸν ὅλῃ ψυχῇ παρακαλοῦντα. Ἐπανέρχεται γὰρ καὶ ἀπὸ ζάλης γαλήνη, καὶ ἐξ αὐχμῶν ἐπομβρία, καὶ ἀπὸ χειμῶνος ἔαρ, καὶ ἀπὸ νόσου ῥῶσις, καὶ ἀπὸ σκότους καὶ νέφους ἥλιος φαίνων λαμπρὸν, καὶ τέλος, τῇ τῶν ἐναντίον φυγῇ τὰ ἐναντία πάλιν ἐπάνεισιν. Ἐπανέλθοιμεν καὶ ἡμεῖς ἀποῤῥίψαντες τὴν ἐνορχουμένην τῶν προσώπων ἀχλύν. Ἐπανέλθοιμεν δὲ ὡς χελιδὼν ἐν ἔαρι, καλὰ κελαδήσαντες ὑπὲρ αὐλὸν κιθαριστήριον διὰ τῆς ἐπιστολῆς ταυτησί, ὦ φιλολόγων καὶ φιλακροαμόνων καὶ δικαίων βασιλέων ὁ κάλλιστος. Τί

(1) Τὸν μαθητὴν καὶ ἀνεψιαδοῦν Ἀριστοτέλους, περὶ οὗ τάδε φησὶ Λαέρτιος: «Δόξας γὰρ Ἑρμολάῳ συμμετεσχηκέναι τῆς εἰς Ἀλέξανδρον ἐπιβουλῆς, ἐν σιδηρᾷ περιήγετο γαλεάγρᾳ, φθειριῶν καὶ ἀκόμιστος· καὶ τέλος λέοντι παραβληθείς, οὕτω κατέστρεψεν» [Βιβλ. Ε', 5.—Πρβλ. καὶ Πλουτ. Ἀλέξ. νέ, καὶ Σουίδ. ἐν λέξει].

(2) «Ἔχαιρε δὲ [Ζήνων], φασί, σύκοις χλωροῖς καὶ ἡλιοκαΐαις» [Διογ. Λαέρτ. Ζ', 1]. Περὶ τοῦ χωρίου δὲ τούτου τοιάδε ὁ κλεινὸς Ἀσώπιος σημειοῦται: «Ἐγὼ νομίζω ὅτι, ὁδηγούμενοι ἐκ τῆς σημερινῆς ἡμῶν γλώσσης ἥτις ὀνομάζει **ἡλιόκαυτα** (ὀψάρια δηλαδὴ) τοὺς ἐν ἡλίῳ ξηραινομένους ἰχθύας, δὲν σφάλλομεν ἐάν, εἴτε τὸ **ἡλιοκαΐαις** κρατοῦντες εἴτε εἰς τὸ **ἡλιοκαέσι** τρέποντες αὐτὸ [τοῦθ' ὅπερ καὶ ἄλλοι πρὸ τοῦ ἡμετέρου Ἀσωπίου ἐσημειώσαντο. Καὶ ὅρα μοι τὰς εἰς Δ. Λαέρτιον Ἐπιστασίας καὶ Διορθώσεις Αἰγιδίου τοῦ Μεναγίου σελ. 158. Lond. 1667], ἑρμηνεύσωμεν τὸ τοῦ Λαερτίου ἠγάπα τὰ χλωρὰ καὶ τὰ ξηρὰ σῦκα, μὴ ἀφίνοντες τὸν Ζήνωνα νὰ ἑψηθῇ εἰς τὸν ἥλιον τῆς Ἑλλάδος, τοῦ ὁποίου τὴν καταφρόνησιν διὰ τῆς ζωῆς του ἀπέτισεν ὁ ἀτυχὴς Ὀτφρ. Μύλλερος» [Ἱστορ. τ. Ἑλ. ποιητ. καὶ συγγραφ. σελ. 809]. Σοφὰ μὲν ταῦτα, εἰ καὶ εἶχεν ἄν τις ἴσως ἀντειπεῖν, ὅτι οὐχ ὅλως ἀήθης τις τῆς τῶν Ἀθηνῶν θερμοκρασίας ἦν ὁ Ζήνων, ὡς ὁ ἐξ ὑπερβορείων Μύλλερος, καὶ ταῦτα ἐν θερμοτέρᾳ γεννηθεὶς χώρᾳ, τῇ Κύπρῳ, οὐδ' ὅτι ἔχαιρε πάντως ἡλιούμενος θέρους ὥρᾳ καὶ τοῦ ἡλίου μεσουρανοῦντος· ἀλλὰ πρόδηλον ἐκ τῆσδε τῆς φράσεως τοῦ Λέοντος, ὅτι καὶ κατὰ τὴν Θ' ἑκατονταετηρίδα ἐφέρετο ἐν τοῖς χειρογράφοις ἡ γραφή: **Ἡλιοκαΐαις**.

(3) Περὶ οὗ ταῦτά φησιν Ὅμηρος [Ἰλ. Β, ς. 721—23]:

Ἀλλ' ὁ μὲν ἐν νήσῳ κεῖτο κρατέρ' ἄλγεα πάσχων,
Λήμνῳ ἐν ἠγαθέῃ, ὅθι μιν λίπον υἷες Ἀχαιῶν
Ἕλκεϊ μοχθίζοντα κακῷ ὀλοόφρονος ὕδρου·

κλαίων αἵμασι ταῦτα γράφω δάκρυσιν; Ἐμὸς ὁ ἔρως, ὃν ἐπιγράφομαι δεσπότην, κἀγὼ λάτρις πιστός, καὶ ἡ πίστις σώσει με. Διαχεῖ γὰρ καὶ τρέφει τοῦτο τὴν καρδίαν ἤδη μοι, καὶ οἰχήσεται τὰ δυςχερῆ, καὶ διαλάμψει μοι ἡμέρα, καὶ παρελεύσονται τὰ φάσματα μετὰ τῶν σκιῶν, καὶ σωθήσομαι ἢ φιλανθρωπίᾳ ἢ δικαιοκρισίᾳ.

ΙΖ'.

Λέων μάγιστρος ἀνθύπατος καὶ πατρίκιος Λέοντι αὐτοκράτορι Ῥωμαίων.

Ἐπειδή, βασιλεῦ, τῶν ἀττικῶν ῥημάτων ἡ δέησις μὴ πρὸς οἶκτον τὸ σὸν θυμούμενον μετεποίησεν, φέρε τῶν δαυϊτικῶν μελῳδημάτων ἡ λύρα κηλησάτω σου πρὸς ἔλεον τὴν ψυχήν, καὶ τῶν Χριστοῦ συμπαθῶν ἐνεργημάτων ἐπικλασάτω σου τὸ πρὸς μόνους ἡμᾶς ἀμείλικτον. Ἀλλὰ τίνα τὰ ἐκ Δαυΐδ; *Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος; ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ; ἕως πότε ὑψωθήσονται οἱ ἐχθροί μου ἐπ' ἐμέ; Ἐπίβλεψον, εἰςάκουσόν μου, Κύριε* (1). *Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν. Ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με. Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου. Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με. Φύλαξον τὴν ψυχήν μου καὶ ῥῦσαί με· μὴ καταισχυνθείην ὅτι ἤλπισα* μετὰ Θεὸν *ἐπὶ σέ* (2). *Οὐ γὰρ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐκ εἰςῆλθον* (3) πώποτε. Τοίνυν, ἕνεκα τῶν ἐχθρῶν μου, *μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με* (4). *Εἰςάκουσον τῆς φωνῆς τῆς δεήσεώς μου* (5), *καὶ ἐξάγαγέ με ἐκ παγίδος ταύτης, ἣς ἔκρυψάν μοι· καὶ ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου.* Ἤδη γὰρ *ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου· ἤδη τὰ ὀστᾶ μου ὡςεὶ φρύγιον συνεφρύγησαν.* Διατί; *Ὅτι ἐπελήσθην ὡςεὶ νεκρὸς ἀπὸ καρδίας· ὅτι ἐγενήθην ὡςεὶ σκεῦος ἀπολωλός. Ἀλλ' ἐπίφα-*

(1) Ἐκ τοῦ Ψαλμοῦ ιϐ'.
(2) Ἐκ τοῦ κδ'.
(3) Ἐκ τοῦ κε'.
(4) Ἐκ τοῦ κς', 12.
(5) Ἐκ τοῦ κζ', 2.

νον τὸ πρόςωπόν σου καὶ σωθήσομαι (1), *καὶ ἐν λαῷ βαρεῖ αἰνέσω σε* (2), δέσποτα. Καὶ ταῦτα μὲν τὰ ἐκ Δαυῒδ ἐλεεινολογούμενά μοι. Τὰ δὲ Χριστοῦ τοῦ υἱοῦ Δαυῒδ ποῖα; Καιρὸς εἰπεῖν ἐστι. Φιλανθρωπεύθητι ὡς ἐκεῖνος· οὐδὲ γὰρ οὐδὲ τὸν *τελώνην* (3) αὐτὸς ἀπώσατο, οὐ τὸν *ἄσωτον* (4), οὐ τὸν *Ζακχαῖον* (5), οὐ τὸν *ἑκατοντάρχην* (6), οὐδὲ τὸν *Πέτρον* (7) ἐν κλύδωνι, οὐδὲ τὸν *Μάλχον* (8) ἐν ξίφεσιν, οὐδὲ τὴν *Χαναναίαν* (9) ὡς ἐθνικήν, οὐδὲ τὴν *Σαμαρεῖτιν* (10) ὡς μοιχικήν, οὐδὲ τὸν *συσταυρούμενον* (11) ὡς λῃστήν, οὐδὲ τὸν *Λογγῖνον* (12) ὡς φονευτήν, οὐδὲ τὴν *πόρνην* (13) ὡς ἀσωτίας μεστήν. Μὴ βράδυνε πρὸς τὸν ἔλεον τοίνυν, χρηστὸς καὶ Χριστοῦ μαθητὴς καὶ ὢν καὶ φαινόμενος. Ὠκύμορος γὰρ πᾶς ἐφήμερος, καὶ πίπτει καὶ νεότης εἰς γῆν, τὸ δὲ γῆρας ὅτι ταχύτατα. Τί πυροῖς ἄνθρωπον μετὰ μικρὸν οὐκ ἐσόμενον; Δεῦρο μήτε σαυτὸν ἀφαιροῦ τοῦ χρηστοῦ, μήτ' ἐμὲ τῆς εἰς τέρψιν εὐφροσύνης· οὐδὲ γὰρ οὐδὲ πηγὴ λέγει, μὴ πίῃς· οὐδὲ ἄνθος, μὴ ὀσφρανθῇς· οὐδ' ὀπώρα, μὴ λάβῃς. Τοὺς ὄρνεις τὰ δένδρα δέχεται· τοὺς ἰχθύας δὲ πόαι θαλάττιοι· τοὺς λαγὼς αἱ πέτραι· τὰ ἕρποντα αἱ χειαί· τοὺς δ' ὑπερορίους οἱ τῶν βασιλέων φιλανθρωπότατοι. Ζητῶ δέ σε, καὶ τί θαυμαστόν; οὐδὲ γὰρ

(1) Ἐκ τοῦ λ'.
(2) Ἐκ τοῦ λδ', 18.
(3) Λουκ. ιη', 10—14.
(4) Ὁ αὐτ. ιέ, 11—32.
(5) Ὁ αὐτ. ιθ', 1—10.
(6) Ματθ. ή, 5—13.
(7) Ὁ αὐτ. ιδ', 28—32.
(8) Ἰωάν. ιή, 10. Ἀτόπως μέντοι ἐχρήσατο τῷ λογίῳ· οὗτος γὰρ ἦν ὁ ὑπὸ Πέτρου τὸ δεξιὸν ὠτίον ἀποκοπείς.
(9) Ματθ. ιε', 22—28.
(10) Ἰωάν. δ', 7—30.
(11) Λουκ. κγ', 40—43.
(12) Τὸν ἑκατόνταρχον φησί, τὸν μετὰ τῶν αὐτοῦ στρατιωτῶν εἰς τήρησιν τοῦ σταυρωθέντος Κυρίου ταχθέντα· ὃς ἰδὼν τὸν σεισμὸν καὶ τὰ γενόμενα ἐφοβήθη σφόδρα, λέγων, **ἀληθῶς Θεοῦ υἱὸς ἦν οὗτος** [Ματθ. κζ'. 54]. Καὶ οὐκ ἐμφέρεται μὲν τὸ ὄνομα αὐτοῦ ἐν τῷ Εὐαγγελίῳ, ἀλλ' ἡ Ἐκκλησία παρέλαβεν ἐκ τῆς ἄνωθεν παραδόσεως, ὅτι μετὰ τὴν τοῦ Σωτῆρος ἀνάστασιν, τὸν στρατιωτικὸν λιπὼν βίον καὶ τὸν Χριστὸν ἐν τῇ ἰδίᾳ κηρύξας πατρίδι θανάτῳ μαρτυρικῷ ἐτελεύτησε· διὸ καὶ γεραίρει τὴν μνήμην αὐτοῦ τῇ ις' Ὀκτωβρίου.
(13) Λουκ. ζ', 37—50.

καλῶν ἀνέραστος μόνος ἐγώ. Ἕλκει γάρ με τὸ κάλλος ὡς ἐφετόν, τὸ ἦθος ὡς συνετόν, τὸ δημηγόρημα ὡς λαμπρόν. Μὴ τοίνυν ἡ φυσική σου γαλήνη τραχυνέσθω ἐπὶ τῷ γήρᾳ μου, μηδ' ἀποστεφανούτω τὸ σὸν ἤπιον ἐπ' ἐμοί. Εἰ δὲ μή, θνήσκω μετὰ μικρόν, καὶ τί σοι πλέον ἔσται ἢ βασιλικώτερον ;

ΙΗ'.

Λέων μάγιστρος ἀνθύπατος καὶ πατρίκιος Λέοντι αὐτοκράτορι Ῥωμαίων.

Εἰ μὴ τῶν προτέρων ἐπιστολῶν τὸ παρακλητικὸν εἰς συμπάθειαν τὸ σὸν ἐκίνησε κράτος, δέσποτα, φέρε τὰς τρεῖς πρεσβείας ἀνθ' ἱκετηρίας, τὰς ἐν Βουλγαρίᾳ φημί, μέσον σοι, καὶ ἣν ἅπαξ ἐν Συρίᾳ πεποίημαι, δέκα πράξεις ἔχουσαν· ἐν αἷς τοῦτο μέν, εἴκοσι καὶ ἑκατὸν χιλιάδας αἰχμαλώτων ἐκεῖθεν λαβών, καὶ σπονδὰς ἐγγράφους εἰρηνικὰς ποιήσας ἐπανελήλυθα· τοῦτο δέ, τὰ τοῦ Δυῤῥαχίου τριάκοντα φρούρια σὺν αὐτῷ πλούτῳ καὶ αὐτοῖς οἰκήτορσι τῇ βασιλείᾳ σου δῶρον προςήνεγκον, *ἀποσπάσας*, προφητικῶς εἰπεῖν (1), *ὡς λοβὸν ἐκ λέοντος στόματος*, ταῦτα· καὶ τρίτη πρεσβεία τὴν ἁλωθεῖσαν ὑπ' Ἀγαρηνῶν Θεσσαλονίκην (2) κατοικῆσαι βουληθέντων Βουλγάρων, πείσας καὶ διώξας ἀπέλαβον. Εἰ δὲ καὶ τὴν πρὸς τὸν ἄραβα *Ἀμηραλμουμηνὶ* (3) ἐννοήσῃς πρεσβείαν μου, οἶδα, κηληθήσῃ, τὰ δέκα, ἣ ἔφην, τῶν εὐτυχημάτων μου ἐνεργήματα,· εἰς τέλος ἀναθεώμενος ἐληλυθότα παναίσιον. Εἰρήνην τὴν ἔγγραφον λέγω καὶ τὴν ὑπαλλαγὴν τῶν ὁμοφύλων αἰχμαλώτων, καὶ οὓς μοι συνανεβίβασα πρέσβεις ἐκεῖθεν Ἄραβας προςκυνῆσαί σου τὸ κράτος μετὰ ποικίλων δώρων πολλῶν· ναὶ μὴν καὶ τοὺς ἱερεῖς Ἀντιοχέων, καὶ τοὺς ἐκ τῆς Θεουπόλεως, οὓς διὰ τὴν ἐπὶ σοὶ σύνο-

(1) Ἀμὼς γ', 12.

(2) Ἑάλω δὲ ἡ Θεσσαλονίκη τῷ 904 ὑπὸ τοῦ στόλου τῶν Σαρακηνῶν, ναυαρχοῦντος τοῦ ἀρνησιχρίστου Λέοντος τοῦ Ἀτταλέως, τοῦ καὶ Τριπολίτου ἀκούοντος ἀπὸ τοῦ τόπου τῆς αὐτοῦ κατοικίας.

(3) Οἱ ἐν Βαγδατίῳ τοτηνικαῦτα ἑδρεύοντες χαλίφαι τῶν Σαρακηνῶν ἔφερον τὴν τιμητικὴν προςηγορίαν: Ἀμὶρ-ἀλ-μουμενὶν (=ἀρχηγέτης τῶν πιστῶν), ἅτε δὴ πρὸς τῇ κοσμικῇ καὶ τῆς πνευματικῆς ἐξουσίας ἐπειλημμένοι.

δον (1) ἠγαγόμην συνοδοιπόρους, ἄρας μέχρι τῆς πόλεως· ἔτι δὲ καὶ τὸ δύο χώρας Σαρακηνῶν ποιῆσαι δασμοφορεῖσθαι τῇ Ῥωμαίων ἀρχῇ, τοῦ Ἀπεμβασὰν καὶ Ἀβδελομέλεχ φημί· ἵνα μὴ λέγοιμι τὴν πρὸς Μελιτινίτας (2) ἄλλην εἰρήνην ἔγγραφον, καὶ ἣν ἐκεῖθεν ἔλαβον αἰχμαλωσίαν Γραικῶν, καὶ τὸ τούτων μεῖζον, τὸ μετὰ Ταρσιτῶν (3) δῆσαι σπονδάς, καὶ αὐτὰς ἐγγράφους οὔσας, ἃς περιέχουσιν ἐπὶ δυσὶν ἔτεσιν τὸν πόλεμον μόνον συνίστασθαι, τῷ δὲ τρίτῳ καὶ εἰρηνεύειν, καὶ ὑπαλλάσσειν. Ἔχεις ἀντὶ παρακλητικῆς ταῦτα δεήσεως, ἔχεις, δέσποτα· Εἰ δὲ μηδὲ ταῦτά σε κινεῖ, ἀπόβλεψον ὡς γένος εἰμὶ συζύγου τῆς σῆς· ἡ δ' ἐμὴ (4) σύζυγος τῶν σοὶ προσηκόντων αἷμα τὸ ἐγγύτατον. Εἰ δὲ καὶ ξένος, θαυμαστὸν οὐδέν· ξένος καὶ ὁ Νεῖλος, ἀλλ' ἄρδει τὴν Αἴγυπτον· ξένοι καὶ οἱ ὄμβροι τῆς γῆς, ἀλλὰ ταύτην ἐμπιπλῶσι καρπῶν· ξένοι καὶ οἱ ποταμοὶ τῆς θαλάσσης, ἀλλὰ τοὺς ταύτης ἰχθῦς ἐκτρέφουσι· ξένος ἡμῶν καὶ ὁ ἥλιος, ἀλλὰ θάλπει σύμπαντας· ξένη καὶ ἡ χελιδὼν καὶ ἡ ἀηδών, ἀλλὰ τὴν μὲν τὸ ἔαρ, τὴν δὲ πᾶς οἶκος μὴ σοβῶν ὑποδέχεται· ξένη καὶ αὐτοῦ τοῦ σώματος ἡ ψυχή, ἀλλ' ἄμικτος μίγνυται, καὶ μὴ κινουμένη κινεῖ, καὶ ζωοῖ τὸ χεῖρον ἡμῶν καὶ κοινὰ ποιεῖται πρὸς τοῦτο τινά. Φιλανθρωπεύθητι δή, καὶ δὸς χάριν τῷ σῷ θεράποντι καὶ αὐτός, ὦ θεραπευτὰ τοῦ Θεοῦ. Σῶσον καὶ ὑπόδεξαι, καὶ χορεύσω ῥυθμικὸν ὑπὲρ σκίρτον (5) σατυρικόν, καὶ κόρδακα (6)

(1) Ἀμφίβολον δοκεῖ τῷ ἀοιδίμῳ Δοσιθέῳ πατριάρχῃ Ἱεροσολύμων τὸ ὑπὸ τοῦ Ἀλεξανδρείας Εὐτυχίου ἐν τῷ αὐτοῦ χρονικῷ ἱστορούμενον, ὅτι, τῇ τοῦ αὐτοκράτορος Λέοντος ἐγγράφῳ αἰτήσει, ὁ Ἀλεξανδρείας Μιχαήλ, ὁ Ἱεροσολύμων Ἠλίας καὶ ὁ Ἀντιοχείας Συμεὼν ἀπέστειλαν εἰς Κωνσταντινούπολιν τοποτηρητάς, οἳ συνεχώρησαν τὴν παρανομηθεῖσαν αὐτῷ τετραγαμίαν [Ἱστορ. τῶν ἐν Ἱεροσολ. πατριαρχ. Ζ', ιη', σελ. 740]· ἀλλ' ἡ προκειμένη μαρτυρία τοῦ Μαγίστρου αἴρει ἐκ μέσου πᾶσαν περὶ τούτου ἀμφιβολίαν.

(2) Τοὺς ἐκ Μελιτηνῆς πόλεως ἐπισήμου τῆς Καππαδοκίας ὑπὸ τῶν Σαρακηνῶν κατεχομένης τοτότε.

(3) Τουτέστι τοὺς ἐκ τῆς Ταρσοῦ τῆς Κιλικίας, ὑπὸ τῶν Σαρακηνῶν καὶ ταύτης κατεχομένης, οἳ καὶ ὑπὸ ἰδίου ἐκυβερνῶντο ἐμίρου.

(4) Ἐν τῷ χειρογρ. γέγραπται : **Εἰ δὲ μή.**

(5) Οὐ τῶν ἀδοκίμων δοκεῖ ἡ λέξις, καὶ σημαίνει ἴσως τὸν ἔν τισι τῶν νήσων καὶ ἀλλαχοῦ τῆς Ἑλλάδος χυδαιοβαρβάρως καλούμενον **Βαλλαριστὸν χορὸν** (ἀπ' ἐναντίας τοῦ **Συρτός**)· σκιρτηδὸν γὰρ χορεύουσιν αὐτόν. Ὅρα δὲ καὶ τὴν ἐφεξῆς σημείωσιν.

(6) Τρία εἴδη ὀρχήσεως, κατὰ τὸν Σχολιαστὴν τοῦ Ἀριστοφάνους· **Ἐμμέλεια** μέν, τραγική· **Σίκιννις**, σατυρική· **Κόρδαξ**, κωμική, ἥτις αἰσχρῶς κινεῖ τὴν ὀσφύν· [Νεφ. ς. 540].

κωμικόν. Ῥίψον, ῥίψον, δέσποτα, τὸ ἄγαν βασιλικώτατόν τε καὶ ἀπαῤῥησίαστον, καὶ ῥίψω τὸ σκυθρωπόν. Ἀναλαβοῦ τὸ πατρικόν, καὶ λήψομαι τὸ φαιδρόν. Ἴδω μου τὸν ποθούμενον, ἴδω. Ἴδω τὸν ζητούμενον, καὶ θεάσομαι φῶς ἐλεύθερον καὶ γελῶν, καὶ ἡμέραν χαρμονικὴν καὶ λευκήν. Μή μου τῆς ἱκεσίας ὑπερίδῃς· μὴ, δέσποτα, μή. Μέχρι γὰρ τίνος ἡ κατήφεια τοῦ οἴκου τοῦ ἐμοῦ; μέχρι τίνος ἡ νὺξ ἡ ψηλαφητή; μέχρι τίνος τὸ ἀκερσοκομεῖν ἐμὲ καὶ τοὺς ὑπ' ἐμὲ σύμπαντας; Μειδίασον, ὦ ἥλιος ἐμός· ναί, μειδίασον ἐπ' ἐμοί· μειδίασον, καὶ γελάσομαι· ἥμερον βλέψον, καὶ χαρήσομαι· ἀπόδος ἡμῖν σὲ αὐτόν, καὶ πάντα λήψομαι·

ΙΘ'.

Λέων Μάγιστρος ἀνθύπατος καὶ πατρίκιος Λέοντι αὐτοκράτορι Ῥωμαίων.

Μέχρι τίνος, ὦ δέσποτα, χοίρων, οὐκ ἀνθρώπων ὁμήγυριν, τὴν τῶν κατηγόρων φημὶ ψευδῆ πανήγυριν, ἀκούσῃ; Μέχρι τίνος τῶν ἐκείνους ἐρεθισάντων ἀρχαίων ἐχθρῶν τῶν ἁλόντων, λέγω, ποτὲ πρὸς δόλου γραφάς, καὶ παθόντων τὰς ἐκ νόμου ποινάς, ἐνωτίσῃ; Φεῦ, διασιλλαίνουσιν ἐπὶ τὸ συκοφαντεῖν λαμπρυνόμενοι! Φεῦ, αἴρονται, ὅτι περ ἀδίκοις τέχναις ἐνίκησαν! Φεῦ, θροῦν σκωμμάτων εἰςάγουσι, καὶ τῆς πανουργίας τὸ καύχημα συγώειν (sic) οὐ δύνανται! Τῆς ἀηδίας, δέσποτα, τῶν ἁπάντων! Διὰ ταῦτα πενθῶν καὶ σκυθρωπάζων πορεύομαι· διὰ ταῦτα κλαυθμὸς εἰς ἀλεκτρυόνων ᾠδὰς ἐπιγίνεταί μοι· ἐξ ὧν οὐδ' ἐπιγινώσκεσθαί με λέγουσιν οἱ γνώριμοι. Δαπανῶμαι γὰρ οἷά περ ἔλαιον ἐκ πυρός· δαπανῶμαι δ' εἰς τοσοῦτον, ὡς φάσματος ὅμοιον φέρειν τὸ πρόςωπον, καὶ δύεσθαι κατὰ γῆς ἐξ ἀδυναμίας ὅτι πολλῆς. Ἔστω τὸν γέροντα· οὐδὲ τὴν ἐπιληπτίζουσαν σύζυγον γραῖαν κατελεεῖς; Ὦ γῆρας πικρότερον πενίας! Φεῦ, τίς ἴασις τῶν ἐμῶν κακῶν; Οὐ γὰρ οἶδ' ὅ,τι καὶ δράσαιμι. Ὁρκῶ σε τὴν τῶν σῶν γονέων εὐχὴν, σῶσον ὅτι τάχιστα· ὁρκίζω, καὶ γυνὴ, καὶ θυγάτηρ, καὶ τρία ἔκγονα. Νὴ τὰ Χριστοῦ μυστήρια, νὴ τὴν σωτηρίαν τῆς σῆς ψυχῆς, νὴ τὰ θεῖά σου φίλτατα, δέδεξο καὶ μὴ ἀπώσῃ τὴν δέησιν. Αὖθις δὲ

κἀγὼ δέομαι· οὐδὲ γὰρ μακρὸν ἤδη δίδωσιν, ὡς ὁρᾷς, τοῦ ζῆν μοι τὸν χρόνον ἡ φύσις. Μὴ ποιήσῃς ζητεῖν με κώνειον ἢ βάραθρον, ἢ σχοινίον ἄρτιον ἐν ᾧ κρεμήσομαι, ἤ, τὸ μετριώτερον, ἀγροικικὸν νάκος ἐναψάμενον κατ' ἀγροὺς διάγειν οἷά περ οἱ πτωχεύοντες. Ἀλλὰ δειχθήτω νεότης (1) θάλλουσα τὸ γῆρας τὸ ἐμὸν διὰ σοῦ· τί γάρ σου καὶ τῶν σῶν καλῶν γένοιτ' ἂν ἥδιον; Καὶ ποῦ ὁ ἵλεως ἐμοὶ (πάλιν καὶ πολλάκις λέγω, καὶ βουχώμενος καὶ κλαίων βοῶ); Εἰς τί φθειριῶν καὶ καταπεπληγμένος (2), καὶ ὑπτιαζόμενος κεῖμαι; Εἰς τί, ἔαρος ὄντος, οὐκ ἐαρίζειν δοκῶ, μιμνησκόμενος τοῦ λόγου, τοῦ ἤθους, καὶ τῶν ἄλλων σῶν ἀμυθήτων καλῶν; Σῶσον οὖν σῶσον, δέσποτα· καταδίκασον δὲ τὰ *Λιβυκὰ θηρία* (3), τοὺς *ἀνεψήτους λίθους* (4), τὰ *Λήμνια κακά* (5), τούς, κατὰ Πλάτωνα, *μερμέρους* (6)· ἐξ ὧν κλαίων *Κρονικὰς* φέρω *λήμας* (7), καὶ *δάκρυα* οὐ *Μεγαρέων* (8), ἀλλὰ πικρότατα. Ναί, καταδίκασον καὶ δεῖξον αὐτοὺς ὡς *λύκον περὶ*

(1) Τὸ χειρογρ.: **Ἀλλαδειχθήτωνεότης.**

(2) Γρ. ἴσως: **Καταπεπληγμένος.**

(3) **Λιβυκὸν θηρίον**: ἐπὶ τῶν ποικίλων καὶ πολυειδῶν τοῖς τρόποις. Πολυθήρου γὰρ οὔσης τῆς Λιβύης καὶ πολλῶν ζώων συνιόντων καὶ ἀλλήλοις ἐπιβαινόντων, ἐξηλλαγμένα ἀποτελεῖ καὶ σύμμικτα ζῶα [Διογεν. Παροιμ. ϛ', 11].

(4) Παρὰ τὸ παροιμιῶδες: **Λίθον ἕψεις**, ἐπὶ τῶν μάτην πονούντων· περὶ οὗ βλέπε Leutsch καὶ Schneidewin Ἕλλην. Παροιμιογρ. τόμ. Α', σελ. 130, 187 κ. 430 καὶ τὰς αὐτόθι σημειώσεις. Ἀλλ' οὐκ εὐστόχως εἰρῆσθαι ἐνταῦθα δοκεῖ.

(5) Ἐκ τοῦ παρ' Ἡροδότῳ ἱστορουμένου [ϛ', 138] περὶ τῆς ἐν Λήμνῳ παρανομηθείσης ὑπὸ τῶν γυναικῶν ἀνδροκτασίας ἔσχεν ἀρχὴν ἡ παροιμία: **Λήμνιον κακόν**, περὶ ἧς ὅρα Ζηνοβ. Παροιμ. Δ', 91.

(6) «**Μέρμερος πάνυ ἐστίν, ὦ Ἱππία,**» ἀντὶ τοῦ δύσκολος, χαλεπός [Πλάτ. Ἱπ. Μείζ. τόμ. Γ', σελ. 377. Teubn.].

(7) Ἐν τῷ χειρογρ. γέγραπται: **Λῆβας**· ἔστι δὲ παροιμία ἐπὶ τῶν ἀμβλυωπούντων: «Λήμη δέ ἐστι τὸ πεπηγὸς δάκρυον, ὅπερ ἐπικαθεζόμενον βλάπτει τοὺς ὀφθαλμούς· τὸ γὰρ τῶν γερόντων δάκρυον παχὺ ὂν λήμας μεγάλας ποιεῖ» [Σχολ. Ἀριστοφ. Πλοῦτ. ϛ. 581. Πρβλ. καὶ Διογεν. Παροιμ. Ε'. 63].

(8) **Μεγαρέων δάκρυα**: Αὕτη τέτακται ἐπὶ τῶν πρὸς βίαν δακρυόντων, καὶ μὴ ἐπὶ οἰκείῳ πάθει. Λέγουσι γάρ, Βάκχιόν τινα Κορίνθιον γῆμαι τὴν Κλυτίου τοῦ Μεγαρέων βασιλέως θυγατέρα· ἧς ἀποθανούσης ἀναγκασθῆναι τοὺς Μεγαρέας ὑπὸ τοῦ Κλυτίου πέμπειν [ν'] παρθένους καὶ ἠϊθέους εἰς Κόρινθον τοὺς μέλλοντας αὐτοῦ τὴν θυγατέρα καταθρηνήσειν. Οἱ δέ φασιν ὅτι πλεῖστα δοκεῖ φύεσθαι ἐν τῇ Μεγαρέων σκόροδα· ἔνθεν τὴν παροιμίαν εἰρῆσθαι ἐπὶ τῶν προσποιητῶς δακρυόντων, παρόσον οἱ ἐμπιπλάμενοι τῶν σκορόδων ἀποδακρύουσι συνεχῶς ὑπὸ τῆς δριμύτητος. Ὅθεν τὰ μὴ ἐκ παθῶν μηδὲ ἐκ βάθους δάκρυα, ἀλλ' ἐξ ἐπιπολῆς, **Μεγαρέων δάκρυα** ἔλεγον [Ζηνοβ. Παροιμ. Ε', 8].

φρέαρ (1), ὡς *κύνα παρ' ἐντέροις* (2), ὡς *αἶγα πρὸς μάχαιραν* (3), ὡς *κορώνην πρὸς σκορπίον* (4), καὶ *Καρπάθιον πρὸς λαγών* (5). Δεῖξον *'Ακεσσαίου σελήνην* αὐτούς, κατὰ τὴν παροιμίαν (6), ὅπως χαίρων ζήσομαι, καὶ θνήσκων χαιρήσομαι.

Κ'.

Λέων μάγιστρος ἀνθύπατος καὶ πατρίκιος Λέοντι αὐτοκράτορι Ῥωμαίων.

Οἶδα, δέσποτα μέγιστε, αὔγουστε, σεβαστέ, φερώνυμε, νικητά, τροπαιοῦχε, ὡς μάτην καταμέμφονταί μου τινές, τοῦτο δὴ τὸ λεγόμενον ἐπιλέγοντες: « *Ἐχθρὸν οὐκ ἔχει σοφός* »· ἐπίσταμαι δὲ καὶ τοῦτο, ὡς τὴν γραφίδα νῦν μου κινοῦντος, πολλοὶ κινήσουσι τὴν κεφαλὴν κατ' ἐμοῦ, τί καταβοῶντες; ὅτι μὴ ἀντικατηγορεῖν δεῖ, μηδὲ σιωπᾶν μόνον ὅσα κακούργων αἰσχρά, ἀλλὰ καὶ ὅσα τῷ λέγοντι ἀσχημοσύνην οἶδε ποιεῖν, λέγει (7) φυλάττεσθαι. 'Αλλ' οὐ δυνατόν, ἀλλ' οὐ δίκαιον ἐνταῦθα μόνον· διατί; ἐπεὶ γλώσσης ἦρξαν ἀδίκου·

(1) **Λύκος περὶ φρέαρ χορεύει** : παροιμία ἐπὶ τῶν ἀσχολουμένων περί τι μάτην. Καὶ γὰρ ὁ Λύκος ἄπρακτος περίεισιν ὅταν διψήσῃ, μὴ δυνάμενος δὲ πιεῖν, τὸ φρέαρ περιέρχεται. 'Αλλὰ καὶ διώκοντος αὐτοῦ τι, ἐὰν τὸ διωκόμενον ἐμπέσῃ εἰς φρέαρ, περίεισι καὶ τηνικαῦτα τὸ φρέαρ μηδὲν ἀνύων [ὁ αὐτ. Δ', 100].

(2) **Κύων παρ' ἐντέροις** : ἐπὶ τῶν μὴ δυναμένων ἀπολαύειν τῶν παρόντων· ἄχρηστα γὰρ ταῦτα καὶ δύςβρωτα καὶ δυςκατάποτα τοῖς κυσὶ [Μακαρ. Χρυσοκεφ. Ῥοδων. Ε', 39].

(3) **Αἲξ τὴν μάχαιραν** : ἐπὶ τῶν ἑαυτοῖς λανθανόντως κακόν τι ἐπισπωμένων. Εἴληπται δὲ ἐξ αἰτίας τοιαύτης. Κορίνθιοι αἶγα τῇ Ἥρᾳ ἔθυον· κρυψαμένων δέ τινων τὴν μάχαιραν, ἡ αἲξ τοῖς ποσὶ σκαλεύουσα ἀνέφηνεν [Διογ. Παροιμ. Α', 52].

(4) **Κορώνη τὸν σκορπίον** : λείπει ἥρπασεν· ἐπὶ τῶν κακὰ σφίσιν αὐτοῖς ἐπαγομένων [Μακαρ. Ῥοδων. Ε', 19].

(5) **Καρπάθιος τὸν λαγών** : παροιμία. Διὰ γὰρ τὸ μὴ εἶναι λαγὼς ἐν τῇ χώρᾳ, ἐπηγάγοντο αὐτοί· καὶ τοσοῦτοι ἐγένοντο, ὥστε τὸν σῖτον καὶ τὰς ἀμπέλους αὐτῶν ὑπ' αὐτῶν βλαβῆναι. Ὁ γοῦν 'Αρχίλοχος ταύτην τὴν παροιμίαν ἔφη [Ζηνοβ. Παροιμ. Δ', 48].

(6) Τὸ χειρόγρ. : **'Ακεσίου**. — **'Ακεσσαίου σελήνη** : ἐπὶ τῶν εἰς χρόνον ἀναβαλλομένων πρᾶξαί τι. Ἦν δὲ κυβερνήτης, ὃς ῥᾴθυμος ὤν, ἔλεγε διὰ παντὸς ἀναμένειν σελήνην, ἵνα ἐν φωτὶ ὁ πλοῦς αὐτῷ γένηται [Διογεν. Παροιμ. Α', 57].

(7) Γρ. ἴσως : **Λέγειν**.

ἐπεὶ τὴν πρεσβείαν τὸ ἐφ' ἑαυτῶν πάντως ἀπώσαντο, κἂν ἐκ μεγαλοψυχίας ἀνεβαλλόμην τοῦτο εἰπεῖν. Τοιοῦτος ἦν τῶν ἐμὲ ψευδῶς κατηγορησάντων θεραπόντων ὁ ποθητὸς εὐνοῦχος καὶ κύριος· εὐνοῦχος ὁ φιλητός, καὶ μισητὸς ἐν πρεσβείᾳ φανείς, τὸ μὲν τῇ ἀνοίᾳ, τὸ δὲ τῇ παιδίᾳ· ὅς ἑαυτὸν οὐκ ἀκούεσθαι μέν, στέργεσθαι δὲ κακῶς ποιῶν παρεσκεύασε, τοῦτο μὲν συνθήκαις, τοῦτο δὲ κοίταις. Τοιοῦτος ἦν ὁ χαρίεις Ἄραψιν, ὁ ποτὲ τοιοῦτος φανεὶς καὶ Ἴβηρσιν, ὡς οἱ λόγοι λέγουσι, καὶ πάντες πιστεύουσι. Τοιοῦτος φεῦ, ὁ γεννηθεὶς ὥςπερ ἐκ δύο γυναικῶν! καὶ διὰ τοῦτο φεῦ θηλυνόμενος! καὶ τέλος φάναι, τοιοῦτος ὁ κατὰ πάντα κακός, καὶ κατά τι καλὸς τοῖς αἰσχίστοις βαρβάρων (1) ὀφθείς. Γυναῖκες γὰρ κάλλιστον ἐν βίῳ πρᾶγμα τοῖς ἀσελγεστάτοις ἀνθρώπων, ὡς λέγουσι. Τοιοῦτοι δὲ καὶ οἱ ἐκείνου λειτουργοί τε καὶ ὑπηρέται τῶν αἰσχρῶν ἡδονῶν, τὰ καθάρματα, τὰ βδελύγματα, οἱ μηδὲν μήτε εἰδότες πρεσβείας μήτ' ἀναγνόντες μήτε ἀκούσαντες. Πόθεν γάρ, καὶ πότε, καὶ ποῦ, τὰ προβατώδη καὶ βοσκηματώδη ἀνδράρια, τὰ ἀνδράποδα, οἱ *σφυρήλατοι ἀνδριάντες* (2), οἱ Κορυβοί τε καὶ Κοκκυλίωνες (3), οἱ βύρσινοί τε καὶ λίθινοι, οἱ πήλινοί τε καὶ δρύϊνοι, οἱ κορυζώδεις, οἱ χασμώμενοι, οἱ διάμυξοι λύχνοι (4), οἱ ἀφροῦ μεστοί, οἱ *βόες*

(1) Γρ. ἴσως : **Βαρβάροις**.

(2) Παρὰ τὴν παροιμίαν **Ἀνδριὰς σφυρήλατος**· ἐπὶ τῶν ἀναισθήτων [Leutsch καὶ Schneidewin Ἑλλην. Παροιμιογρ. Παράρτ. τόμ. Α', σελ. 383].

(3) Γραπτέον : **Κόροιβοί τε καὶ Κοικυλίωνες**, περὶ ὧν οὕτω φησὶν Αἰλιανός : «Φασὶ παχύτατον γενέσθαι τὴν διάνοιαν οἱ τῆς κωμῳδίας ποιηταί, τὸ δέρμα ἔχοντα διακόνιστον, Πολύδωρόν τινα, καὶ ἄλλον Κοικυλίωνα ὄνομα, ὅςπερ τὰ κύματα ἠρίθμει ὑπὸ τῆς ἄγαν μανίας .... Καὶ Κόροιβον δὲ καὶ Μελιτίδην, καὶ ἐκείνους ἀνοήτους φασίν» [Ποικ. Ἱστορ. ΙΓ', ιε]. Κατωτέρω μέντοι ἔχει ὀρθῶς τοῦ προτέρου ὀνόματος ἡ γραφή· ἡ δὲ διὰ τοῦ υ ἀπαντᾷ καὶ παρ' Εὐσεβίῳ : «Οὐ γὰρ μᾶλλον Πύῤῥωνα θαυμάσαι τις ἂν ἢ τὸν Κόρυβον ἐκεῖνον ἢ τὸν Μελιτίδην, οἳ δὴ δοκοῦσι μωρίᾳ διενεγκεῖν» [Εὐαγγελ. Προπαρ. ΙΔ', σελ. 761]. Ἐγένετο δὲ ὁ Κόροιβος κατὰ τὰ τρωϊκά, ὅς καὶ τὰ κύματα τῆς θαλάσσης ἠρίθμει· ὅθεν καὶ ἡ παροιμία : **Κοροίβου ἠλιθιώτερος** [Ζηνοβ. Παροιμ. Δ', 58.—Διογεν. Ε', 56.—Μιχ. Ἀποστολ. Ι'. 3.—Λουκιαν. Ἔρωτ. 53, καὶ Φιλοψευδ. 3.—Σουΐδ. ἐν λέξ.—Εὐστάθ. εἰς Ὀδυσ. Κ, ς. 552, σελ. 1669].

(4) Γραπτέον : **Δίμυξοι**· Ἴσως δ' ἐπὶ σκώμματι ἐλαμβάνετο καὶ τοῦτο παρὰ τοῖς πάλαι, ὥσπερ καὶ νῦν ἡ κοινὴ συνήθεια τοὺς κουφόνους ἐπισκώπτουσα: **Λύχνους τρεφοσάλλους** ἀποκαλεῖ. Τοιοῦτόν τι εἰκάσειεν ἄν τις καὶ ἐκ Πλάτωνος τοῦ κωμικοῦ, λέγοντος ἐν **Νυκτὶ μακρᾷ** : «Ἐνταῦθ' ἐπ' ἄκρων τῶν κροτάφων ἕξει λύχνον δίμυξον». Τοῦ διμύξου δὲ λύχνου μνημονεύουσι καὶ δύο ἄλλοι κωμικοί, Μεταγένης ἐν **Φιλοθύτῃ**, καὶ Φιλωνίδης ἐν **Κοθόρνοις** [Βλ. Ἀθην. Δειπνοσοφ. ΙΕ', 61].

οἱ Κύπριοι (1), αἱ ἄτρωτοι δοραί, οἱ ἐμβρόντητοι, οἱ λέμφοι, οἱ κέμφοι (2), τὰ δίποδα πρόβατα, τὰ βληχήματα, τὰ βοσκήματα, οἱ μὴ τὸν νοῦν ὑγιαίνοντα φέροντες, τοῦτο μὲν φύσει, τοῦτο δὲ λαιμαργίᾳ καὶ τοῦτο μὲν ἀπορίᾳ, τοῦτο δὲ κέρδει τυφλώττοντι; Φεῦ, τοσοῦτος ἦν, ἵν' αὖθις εἴπω περὶ τούτου, αὐτός τε καὶ οἱ περὶ αὐτόν, οἱ τὰ τῆς πρεσβείας τῆς ἐμῆς τὸ ἐφ' ἑαυτῶν (3) ἐμποδίσαντες φθόνῳ, καὶ τῷ ἐμῷ δυνατῷ πόνῳ μηδὲν κατισχύσαντες· οἱ τὰ ἐμὰ καλὰ ἑαυτοῖς ἐπιγράψαντες ψεύδει, τὰ δ' αὐτῶν κακὰ καὶ τὰς αὐτῶν φλυαρίας εἰς πρόσωπον ἐμὸν ἀποῤῥίψαντες τέχνῃ· οἱ τοὺς ἐμοὺς παλαιοὺς ἐχθροὺ

(1) Καὶ τοῦτο παρὰ τὴν παροιμίαν: **Βοῦς Κύπριος εἶ**· ἤτοι κοπροφάγος· Τοιοῦτ γὰρ οἱ ἐκεῖσε βόες [Διογεν. Παροιμ. Ε', 49]. Τῆς ἀλλοκότου δὲ ταύτης τῶν Κυπρί βοῶν ἰδιότητος μνημονεύων καὶ Ἀντιφάνης ὁ κωμικὸς ἐν τῇ **Κορινθίᾳ**, λέγει [πα Ἀθην. Δειπνοσοφ. Γ', 43]:

. . . . Ἔπειτα κἀκροκώλιον
Ὕειον Ἀφροδίτῃ, γελοῖον. Β. Ἀγνοεῖς·
Ἐν τῇ Κύπρῳ δ' οὕτω φιληδεῖ ταῖς ὑσὶν
Δέσποτα, ὥςτε σκατοφαγεῖν ἀπεῖρξε
Τὸ ζῶον, τοὺς δὲ βοῦς ἠνάγκασεν.

Ἀλλὰ καὶ Πλίνιος ταῦτα περὶ τούτου φησί: Boues in Cypro contra tormi hominum excrementis sibi mederi [Natur. Hist. XXVIII, 20]. Οὕτω δὲ κ Εὔδοξος ἀφηγεῖται ὅτι κοπροφαγοῦσιν οἱ ἐν Κύπρῳ βόες [Παρ' Ἡσυχ. λέξ. Βο Κύπριος].

(2) Παρὰ τὸ θαλασσόβιον πτηνόν, ὃ καὶ νῦν ἔτι **Κέφος** καλεῖται παρὰ τοῖς ν σιώταις. Διεκωμῳδοῦντο δὲ οἱ ἀλόγιστοι καὶ ἀνόητοι **Κέπφοι** ἀποκαλούμενοι. Οὕ λ. χ. παρίστησιν Ἀριστοφάνης τὸν Συκοφάντην λέγοντα πρὸς τὸν Δίκαιον [Πλ. 912.—Πρβλ. καὶ Εἰρ. ϛ. 1067]:

Οὐ γὰρ προςήκει τὴν ἐμαυτοῦ μοι πόλιν
Εὐεργετεῖν μ', ὦ κέπφε, καθ' ὅσον ἂν σθένω;

ἔνθα ὁ σχολιαστής: «Ὦ εὐτελέστατε καὶ λάλε. Φασὶ γὰρ τὸν κέπφον εὐτελέστατον καὶ λάλον· ὄρνεον γὰρ ἄφρον, ὅπερ φιλεῖ ἀφρὸν θαλάττιον ἐσθίειν. Τοῦτο βουλόμενοι οἱ τῶν ἁλιέων παῖδες χειρώσασθαι, ῥίπτουσι τὸ πρῶτον πόῤῥωθεν ἀφρόν· εἶτα ἐγγύτατα· εἶτα φέρουσι τοῦτο ἐν ταῖς χερσί· καὶ οὕτω κατὰ μικρὸν ἀπατῶντες, εὐχερῶς ἀγρεύουσι τοῦτο ἐμπεσὸν εἰς τὰς χεῖρας αὐτῶν. Εἴληπται οὖν εἰς παροιμίαν, ἐπὶ τῶν ἀλογίστων ἀνδρῶν καὶ ἀνοήτων· καλεῖται δὲ κοινῶς **λάρος**» Τῇ ἀπὸ τοῦ πτηνοῦ μετωνυμίᾳ ταύτῃ χρῆται καὶ νῦν ἔτι ἡ συνήθεια. Ἐν Πάτμῳ γοῦν τὸν ἠλίθιον ἐπισκώπτοντες: **Ὦ κακόμοιρε κέφε**, λέγουσι. Σημειωτέον δέ, ὅτι συνέχεεν ὁ Σχολιαστὴς ἐνταῦθα **δύο** πτηνὰ πάντῃ διαφέροντα ἀλλήλων. Λάρος μὲν γάρ ἐστιν ὁ καὶ κοινῶς **Γλάρος** καλούμενος, λευκὴν ἔχων τὴν πτέρωσιν· ὁ δὲ Κέπφος, τὸ μὲν σῶμα μικρῷ βραχύτερός ἐστιν ἐκείνου, ὑπομελανίζων δὲ τὴν χροιάν.

(3) Γραπτέον οἶμαι: **Ἀφ'** ἑαυτῶν.

καὶ τοὺς νέους συγγενεῖς δυςμενεῖς εἰς συμμαχίαν λοιδορίας κινήσαντες, καὶ γράφοντες τῷ συμπρεσβευτῇ γράψαι ψευδῆ κατ' ἐμοῦ, πρίν με τῆς ἀλλοτρίας ἀναδραμεῖν, καὶ λαθόντες οἶμοι παρὰ μικρόν· ὃ τῆς κατηγορίας χεῖρον εἰς λύπην ἐμοί· οἱ περὶ ἐμοῦ τολμῶντες φεῦ! τί λέγειν; ὡς εἴ τις Σαρδανάπαλος τῶν Ἡρακλέους ἔργων μεμφόμενος ἐπεμέμνητο· ὡς εἴ τις Εὐρυβάτης (1) τῶν Ῥαδαμάνθυος, ἢ Φρυνώνδας τῶν Περσέως, ἢ Σάθων (2) τῶν Παλαμήδου, ἢ Θερ-

(1) Ἔοικέ πως ὁ λόγος ἐνταῦθα ἀπομίμησις εἶναι τοῦ Ἰσοκρατικοῦ: «ὥςπερ ἂν εἴ τῳ Φρυνώνδας πανουργίαν ὀνειδίσειεν ἢ Φιλεργός, ὁ τὸ Γοργόνειον ὑφελόμενος, τοὺς ἄλλους ἱεροσύλους ἔφασκεν εἶναι» [Πρὸς Καλλίμ. § κδ']. Περὶ μὲν οὖν τοῦ Εὐρυβάτου, ὃν οἱ πλείους τῶν παλαιῶν δευτεροκλίτως **Εὐρύβατον** γράφουσι, τάδε φησὶ Διόδωρος ὁ Σικελιώτης: «Ὅτι Κροῖσος ὁ τῶν Λυδῶν βασιλεύς, προςποιησάμενος εἰς Δελφοὺς πέμπειν, ἔπεμπεν εἰς Πελοπόννησον Εὐρύβατον τὸν Ἐφέσιον, δοὺς αὐτῷ χρυσίον, ὅπως ὡς πλείστους ξενολογήσῃ τῶν Ἑλλήνων· ὁ δὲ πεμφθείς, πρὸς Κῦρον τὸν Πέρσην ἀποχωρήσας τὰ κατὰ μέρος ἐδήλωσε. Διὸ καὶ παρὰ τοῖς Ἕλλησιν ἐπισήμου γενομένης τῆς περὶ τὸν Εὐρύβατον πονηρίας, μέχρι τοῦ νῦν ὅταν τις ὀνειδίσαι βούληται μοχθηρίαν, Εὐρύβατον ἀποκαλεῖ» [τόμ. Β', σελ. 553 Wessel.—Πρβλ. καὶ Ἁρποκρ. καὶ Σουΐδ. ἐν λέξ.—Εὐστ. εἰς Ὀδυσ. Ι, ϛ. 247, σελ. 1864.—Μιχ. Ἀποστολ. Παροιμ. Η', 12· ὧν τινες καὶ κλέπτην γενέσθαι τὸν αὐτὸν προςτιθέασι]. Πολὺς δὲ τὴν πονηρίαν ἐγένετο καὶ ὁ κατόπιν μνημονευόμενος Φρυνώνδας [Βλ. Ἀριστοφ. Θεσμοφ. ϛ. 861 καὶ Σχολ. αὐτ.—Ἰσοκρ. ἔνθα ἀνωτ.—Ἁρποκρ. καὶ Σουΐδ ἐν λέξ.—Εὐστάθ. εἰς Ὀδ. Κ, ϛ. 552, σελ. 1669.—Γρηγορ. Κυπρ. Παροιμ. Γ'. 6. —Μιχ. Ἀποστολ. ΙΗ', 2]. Ἀμφοτέρων δ' αὖ συνεζευγμένως μέμνηται Πλάτων [Πρωταγ. τόμ. 3 σελ. 157. Teubn.] καὶ Αἰσχίνης [Κατὰ Κτησιφ. §. κε].

(2) Οὐκ οἶδα τίνα τοῦτον λέγει. Ἐπειδὴ γὰρ συνεζευγμένα ἐξ ἀντιθέτου καταλέγει πάντα ταῦτα τὰ ὀνόματα, εἰκὸς αὐτὸν ἐνταῦθα κατὰ κυριωνυμίαν χρήσασθαι καὶ τῷ ἀγνώστῳ τούτῳ ὀνόματι, ὅπερ ἅπαξ μόνον ἀπήντησα ἐν ἐπιγραφῇ κερκυραϊκῇ [C. I. G. τομ. Β'. σελ. 25 ἀρ. 1846]. Οὐδεὶς γὰρ ἄν, οἶμαι, ὑπολάβοι ὅτι προςηγορικῶς ἐχρήσατο αὐτῷ, τουτέστι κατὰ τὴν ἀκατονόμαστον αὐτοῦ σημασίαν, οὕτω πάσης αἰδοῦς πόῤῥω ἥκων, καὶ ταῦτα βασιλεῖ γράφων. Ἔστι δὲ τὸ **Σάθων** μεγενθυντικὸν παράγωγον τοῦ **Σάθη** (τὸ ἀνδρικὸν μόριον)· ὅθεν Ἡσύχιος: «Σάθων, ὑποκόρισμα ἐπὶ παιδίων ἀῤῥένων, ἐπὶ τοῦ αἰδοίου». Σάθωνα ἐπέγραψε καὶ Ἀντισθένης τὸν κατὰ Πλάτωνος γραφέντα ὑπ' αὐτοῦ διάλογον· ἐξ οὗ διετέλουν ἀλλοτρίως ἔχοντες πρὸς ἀλλήλους [Δ. Λαέρτ. Γ'. κδ'. §. 35. Πρβλ. καὶ ϛ'. θ'. §. 16]. Τοῦ διαλόγου δ' αὐτοῦ μέμνηται καὶ Ἀθήναιος ἐν τούτοις: «Καὶ Πλάτωνα δὲ μετονομάσας [ὁ Ἀντισθένης] Σάθωνα ἀσυρῶς καὶ φορτικῶς, τὸν ταύτην ἔχοντα τὴν ἐπιγραφὴν διάλογον ἐξέδωκε κατ' αὐτοῦ». Καὶ πάλιν: «Ἀλλὰ μὴν οὐδ' Ἀντισθένη ἐπαινῶ. Καὶ γὰρ καὶ οὗτος, πολλοὺς εἰπὼν κακῶς, οὐδ' αὐτοῦ τοῦ Πλάτωνος ἀπέσχετο, ἀλλὰ καλέσας αὐτὸν φορτικῶς Σάθωνα, τὸν ταύτην ἔχοντα τὴν ἐπιγραφὴν διάλογον ἐξέδωκε κατ' αὐτοῦ» [Δειπν. Ε'. 63, καὶ ΙΑ'. 115.]. Σύνθετος δ' εὕρηται ἡ λέξις παρ' Εὐσταθίῳ: '**Ανδροσάθων**, ὁ μεγάλα ἔχων αἰδοῖα· ἐξ οὗ ὑπεμφαίνεται καὶ τί δήποτέ ἐστι τὸ κατὰ τὸν **σάθωνα** σκῶμμα, οὐ πάνυ ὂν ἄλλως ἀρίδηλον» [Εἰς Ὀδυσ. Ω, ϛ. 499, σελ. 1968.].

σίτης (1) τῶν Θησέως, ἡ Κόροιβος (2) τῶν Ἀχιλλέως, καὶ Ἶρος (3) τῶν Ὀδυσσέως. Τοιοῦτος ἦν, ἵνα πολλάκις αὐτοῦ μνήμην ὡς στήλην ἐγείραιμι, ὁ πρὸς πᾶσαν κακίαν πολύς, ὃν διὰ τοῦτο ἤδη θανόντα, Κύριε, μὴ δέξαιτο γῆ, ἐπεὶ μηδ' ἐξαγγέλλοντα τὸ ἁμάρτημα τὸ κατ' ἐμοῦ τυρευθὲν αὐτῷ οἱ ἐν Σελευκείᾳ πατέρες ἐδέξαντο· ἀλλὰ μετὰ τῶν προςφερομένων ὑπὲρ ἁμαρτίας δώρων αὐτοῦ, καὶ αὐτὸν ἐκεῖνον τῷ ἀναθέματι καλῶς ποιοῦντες παρέδοσαν. Ναί, μὴ δέξαιτο τοῦτον, ἤ εἶπον, ἡ πάντας δεχομένη μήτηρ τροφός τε καὶ τάφος, ἡ γῆ· τοὺς γὰρ δόλους οὐκ ἂν ἀνέκοψε πώποτε, εἰ καὶ ἐκ Θεοῦ κεραυνοῦσθαι προέγνω· ὅς ἐπεὶ τέθνηκεν, αὐτὸς μέν, οἶδα, δώσει δίκας ἐν ᾅδου, ἀξίους δὲ παρεσκεύασε τοὺς οἰκείους θεράποντας, μᾶλλον δὲ θεραπευτὰς τῶν αἰσχρῶν, οὕτω δικαιωθῆναι βασάνοις, ὡς μηδ' αὐτὸν τὸν οὐρανὸν αἰσθάνεσθαι βροντῶντα. Εἰς τοσοῦτον ἦλθον ἀταξίας, μωρίας, ἀνοίας, ἀναισχυντίας, θράσους καὶ ψεύδους καὶ ἀπληστίας· ἢ οὐκ ἔχω τί καὶ λέγειν, πληγεὶς τοῖς τούτων κακοῖς. Καίτοι! τίνα καιρὸν, τίνα δὲ χρόνον, ἡμέραν δὲ ποίαν ἢ ὥραν ἐπὶ δυσὶν ὅλοις ἔτεσι πρεσβεύων ἐν ἀλλοτρίᾳ διέλειπον λέγειν καὶ ἀνακόπτειν τὰ τούτων αἰσχρὰ καὶ ἄτακτα, καὶ πολλὴν προςτριβόμενα τὴν αἰσχύνην εἰς τὴν Ῥωμαίων ἀρχήν; Ἀλλ' ἀληθὴς ἡ παροιμία, ὡς: «*Τὸ χρόνιον κακὸν ἀμετάβλητον*». Καὶ οὗτοι μὲν τοιοῦτοι, οἱ τὸ τῆς σηπίας ποιήσαντες, αἳ τὸ μέλαν χέουσιν ἵνα τοὺς θηρῶντας τῷ λαθεῖν θηράσωσι. Τίς δ' ὁ πρεσβεύσας, καί περ μέσον τοιούτων ὤν; Οὐκ ἐγὼ μόνος, δέσποτα; Τίς ὁ τῇ εὐχῇ σου θαυμαστωθεὶς καὶ θαυμάζεσθαι διὰ ταύτης ποιήσας τὰ τῆς βασιλείας εἰς Ἄραβας, ὡς ἔστι σοι μαθεῖν ἐκ πολλῶν, κἂν ἐγὼ μὴ λόγοις ἀλλὰ πράγμασι βοᾶν τὰ ἐμὰ δεόντως καὶ συνήθως φιλῶ; Τίς ὁ δήσας ἐγγράφως (4) γερουσίας

(1) Περὶ οὗ ἴδε Ὁμ. Ἰλ. Β, ϛ. 212 ἐφ., καὶ Εὐστάθ. αὐτόθι σελ. 203 ἐφ., καὶ 774.

(2) Ἴδε ὄπισθεν σελ. 401, ὑποσ. 3.

(3) Ὁ πρότερον Ἀρναῖος καλούμενος, ὃς ἦν ἐπαιτῶν ἐν Ἰθάκῃ καὶ τοὺς τῆς Πηνελόπης κατασκοπεύων μνηστῆρας [Βλ. Ὁμ. Ὀδυσ. Σ, καὶ Εὐστάθ. αὐτ. σελ. 1833 ἐφ.].

(4) Μόνον παρ' Ὁμήρῳ εὕρηται τὸ Δέω γενικῇ συντασσόμενον, ἀλλ' ἐν σημασίᾳ τοῦ κωλύω· οἷον [Ἰλ. Σ. ϛ. 100]:

. . . . ἐμοῖο δὲ δῆσεν ἀρῆς ἀλκτῆρα γενέσθαι.

ἔνθα ὁ σχολιαστὴς ἑρμηνεύει: "Ἔδησε καὶ ἐκώλυσεν· ὡςαύτως καὶ Εὐστάθιος [αὐτ.

τοιαύτης, καί ἔθνους τοσούτου καὶ τοσαύτης μέσον ἀρχῆς; Ἐκ δὲ τοῦ μόνον ἐμὲ ταῦτα ποιῆσαι τὸ κακὸν συνέδραμεν; Οὔμενουν· οὐ γὰρ ἐγὼ λέγω καὶ σιωπῶσι τὰ πράγματα, οὐδὲ δι' ἀνάγκην ἐπαίρω τὰ ἐμά. Ἕτεροι δὲ δυνατοὶ ταπεινῶσαι ταῦτα τυγχάνουσι. Τούτων οὕτως ἐχόντων, εἰς τί βεβασάνισμαι συμφοραῖς, ἃς οὐδ' εἰπεῖν οἷόν τέ ἐστιν; Εἰς τί τὴν καρδίαν συστέλλομαι καὶ βριμᾶσθαί με συμβαίνει καὶ διεσθίειν τὸν νοῦν, ὡς ἵππος τὰ χαλινά; Εἰς τί τοσοῦτον ὑπὸ λύπης κεκίνημαι, ἢ μᾶλλον εἰπεῖν, πέπηγα, ὡς τὸ: Τί ταῦτα, Κύριε τῶν ὅλων, βοᾶν, καὶ διατί, καὶ πόθεν, καὶ ἐπὶ πόσον; Εἰς τί τὸν μυελὸν ἀναστρεφόμενον ἐκ λύπης ἔχω; Μέχρι τίνος ἥλιος μετρητὸς ἐμοί; καὶ ἕως τίνος πολύσκιος ἡμέρα ὡς Κιμμερίοις ἔσται μοι; καὶ ἕως τίνος ἀὴρ θρηνήσει ἐν τῷ συναποκεκλεῖσθαί μοι, καίτοι τὸ λειπόμενον τοῦ βίου, ὡς ὁρᾷς, πρὸς τάφον ὁρᾷ; Εἰπὲ τοίνυν, ὦ βασιλεῦ, οὐ τῇ ἀρχῇ μόνον, ἀλλὰ καὶ αὐτῇ ἀρετῇ, κρεμήσομαι δή, οἷά περ ἀγχόνῃ, τῇ συμφορᾷ; κρεμήσομαι διατί; βουλοίμην μαθεῖν. Καὶ ποῦ τὰ συνήθη σου δίκαια; ποῦ τὸ ὑπὲρ ἄνθρωπον σὸν φιλάνθρωπον; Ἀπόδος ἡμῖν σεαυτόν, καὶ πάντα λήψομαι, καὶ κατὰ πάντα θεραπεύσω. Τίς γὰρ οὕτως, ἵν' ἐν Κυρίῳ καυχήσωμαι, παραμεῖναι λειτουργίᾳ πρεσβείας δύναται; τίς ἐπαγρυπνῆσαι τοῖς πράγμασι; τίς ἔθνεσι πρεσβεῦσαι καὶ πεῖσαι, καλῶς ἐπανελθεῖν; Ἐν πᾶσι τούτοις πλουτῶ· πλουτῶ δὲ ταῦτα, ταῖς σαῖς ἀεὶ εὐθυνόμενος εὐχαῖς καὶ βουλαῖς. Τοίνυν κέλευσον, εἰσέρχομαι· πρόσταξον, ἐξέρχομαι· θεῖναι τὴν ψυχὴν ὑπὲρ σοῦ καὶ τῶν κοινῶν οὐκ ὀκνῶ, Μή τις ἄλλος τοῦτο ποιεῖ; Μέμνησό μου τῶν ἐγγράφων ἐπαίνων· μέμνησο τῆς πρὸς τὸν σὸν πατέρα μυστικῆς θεραπείας· μέμνησό μου τῶν τεσσάρων πρεσβειῶν, καὶ πάντως σωθήσομαι.

σελ. 1133]. καὶ Ὀδυσ. Δ, ς. 380]:

Ὅστις μ' ἀθανάτων πεδάᾳ καὶ ἔδησε κελεύθου.

καὶ [Ὀδυσ. Ξ, ς. 61]:

. . . . ἦ γὰρ τοῦγε θεοὶ κατὰ νόστον ἔδησαν.

ὅπου ὁ Σχολιαστὴς ἑρμηνεύει: Ἔδησαν ἐνεπόδισαν. Ἀλλὰ περὶ τῶν Βυζαντινῶν συγγραφέων γραμματικὴν ἀκρίβειαν οὐ δεῖ ζητεῖν.

ΚΑ'.

Λέων μάγιστρος ἀνθύπατος καὶ πατρίκιος Γενεσίῳ ἀνθυπάτῳ πατρικίῳ. Ἀπὸ τοῦ Βαγδά (1).

Καὶ τὸ θορυβῶδες τῆς πρεσβευτικῆς δουλείας, καὶ τὸ νοσῶδες τῆς ἐπὶ ξένης διαγωγῆς, λακωνίζειν ποιεῖ με. Καὶ δὴ γράφομεν· εὐτυχήσαμεν, εἰρηνεύσαμεν, ὁμήρους ἄγομεν, ἀραβικὰ δῶρα τῷ βασιλεῖ προςάγομεν, τοὺς ἀμφοτέρων αἰχμαλώτους ἀλλάξομεν, καί, τὸ κρεῖττον, τοὺς ἀρχιερεῖς αὐτοὺς ὡς βασιλέα ἀνάξομεν (2). Λοιπὸν δή μοι μία τις ὑπολέλειπται θεοχαρίτωτος εὐφροσύνη, τὸ τῆς βασιλικῆς εὐπροςώπου θέας καταπολαῦσαι. Ἔρρωσο.

ΚΒ'.

Γενέσιος μάγιστρος ἀνθύπατος καὶ πατρίκιος Λέοντι μαγίστρῳ. Ἀπὸ τῆς πόλεως εἰς τὸ Βαγδά.

Καὶ πῶς ἂν αἱ καθ' ἡμᾶς ἐλπίδες μὴ οὕτως νῦν εἶχον, ὡς τὰ τῆς ἐπιστολῆς σου μηνύματα, ἀνάμνησιν φέρουσαι τῶν πρὶν ὑπὸ σοῦ ἐπιδεξίως γεγενημένων ; τῶν εἰς Βουλγαρίαν τριῶν πρεσβειῶν λέγω, καὶ τῆς μεγίστης διανοίας ἐκείνης καὶ εὐτυχίας, ὦ μέγιστε πρεσβευτῶν, ἐφ' αἷς καὶ τότε, καὶ νῦν εὐτυχοῦντά σε γνόντες χαίρομεν, καὶ μάλιστα ἐπὶ τῇ κατὰ τὸ προςῆκον ἀρτίως εἰς σὲ τιμῇ, εἰ καὶ ἐφ' ἑνὶ μόνῳ, τῇ σῇ νόσῳ, λυπούμεθα· ἀλλὰ καὶ ταύτης (3) ἐλπίζομεν θεόθεν ὑπερισχῦσαί σε, καὶ μετ' εὐετηρίας καὶ ταχείας ἐπανόδου εὐδαιμονοῦντά σε ὄψεσθαι. Ἔρρωσο.

(1) Τοῦ Βαγδατίου δῆλον ὅτι. Πᾶσαι δὲ αἱ ἐπιστολαὶ αὗται, πλὴν τῶν τελευταίων δύο, προγενέστεραί εἰσιν, ὡς ἔοικε, τῶν πρὸς τὸν αὐτοκράτορα ἐπιστελλομένων.

(2) Νοεῖ πάντως τοὺς ἐπὶ συγχωρήσει τῆς τοῦ αὐτοκράτορος τετραγαμίας παρὰ τῶν πατριαρχικῶν τῆς ἑῴας λήξεως θρόνων τῇ αὐτοῦ αἰτήσει ἀποσταλέντας, οὓς **ἱερεῖς** ἁπλῶς λέγει ἐν τῇ ΙΗ' ἐπιστολῇ [ἴδε ὄπισθεν. σελ. 396].

(3) Τὸ χειρόγρ. : **Ταύταις.**

ΚΓ'.

Ἀναστάσιος κοιαίστωρ (1) Λέοντι μαγίστρῳ. Ἀπὸ τῆς πόλεως εἰς τὸ Βαγδά.

Εὐριπίδαι, καὶ Πλάτωνες, καὶ εἴ τις ἐπισημότερος, ἔπασχον ἀποροῦντες ἄν, οἷα καὶ ἡμεῖς, εἰπεῖν σου ὀρθῶς τοῦ θαυμασίου ῥήτορος τὸ σπουδαῖον περὶ τὰ πράγματα καὶ τὸ ὑγιές· ᾧ οὐ καὶ ἡ ἀῤῥωστία οὐκ ἀγαθόν (2). Οὔτε γὰρ αὐτοῦ παραθραύσασά τι πρὸς τὴν ἐνέργειαν, ἀλλά καὶ πρὸς τὸ ὑπερϐάλλον μᾶλλον τὸν ἔπαινον ἐπιῤῥώσασα, τῆς ἄγαν εὐημερίας τὸ σφαλερόν, ἐκ βραχείας, οἶμαι, κακώσεως ἐθεράπευσεν. Οὕτως οὐχὶ περὶ τὸ μέσον, ἀλλ' ὑψηλὰ καὶ ἄκρα τὰ σά· ὧν εὐχόμεθα τὸ κορυφαιότατον, ἐπανελθεῖν σε ἡμῖν, καὶ τοῦ ἀγαθοῦ βασιλέως ἀξιωθῆναι ἰδεῖν τὸ πολυέραστον πρόσωπον, δεῖξαί τε τοῖς ἀγνοοῦσι, καὶ τοῖς ἐπισταμένοις προςεπιδεῖξαι ὅσον ἔχει δυνάμεως ἡ παίδευσις καὶ ἡ φρόνησις, ἄλλον καὶ ἄρτι ποιήσασα τὸν ἡμέτερον Ὀρφέα, καὶ Ὀδυσσέα, καὶ Νέστορα. Ἔῤῥωσο.

ΚΔ'.

Θωμᾶς πατρίκιος Λέοντι μαγίστρῳ. Ἀπὸ τῆς πόλεως εἰς τὸ Βαγδά.

Τὸ γράμμα τῆς ὑμετέρας περιϐλέπτου ὑπεροχῆς ἐκομίσθη ἡμῖν, δηλοῦν τά τε ἄλλα καὶ ὡς νοσοίης, ᾧ καὶ μᾶλλον ἡμῖν ἀνιαθῆναι συμϐέβηκεν. Πλὴν ἐπειδὴ κατὰ σκοπὸν, ὑποκατιὼν, χωρεῖν, σοι τὰ τῆς

(1) Ἀξίωμα τῆς βασιλείου αὐλῆς, ἐκ τοῦ λατιν. Quaestor (ἑλλην. Ταμίας ἢ ἐλεγκτής). Παρὰ τοῖς Βυζαντινοῖς μέντοι Κοιαίστωρ ἐλέγετο ὁ **πάρεδρος τοῦ βασιλέως, ἢ ὁ τὰ βασιλεῖ δοκοῦντα τεταγμένος ὑπαγορεύειν, ἢ ὅς πρὸς τῷ δήμῳ τὴν ἐν τῷ λόγῳ τάξιν ἐτάχθη πληροῦν τοῦ βασιλέως** [Βλ. Δουκαγγ. Γλωσσάρ. τόμ. Α', σελ. 674].

(2) Ἐν τῇ τοῦ χειρογράφου ᾤα σεσημείωται ὑπὸ τοῦ ἀντιγραφέως μικροῖς κεφαλαίοις γράμμασι ταῦτα: **Αἱ δύο ἀποφάσεις κατάφασιν.** Εἶεν· τὸν μέντοι γε οὕτω γνώμης **ἔχοντα περὶ** Εὐριπίδου καὶ Πλάτωνος εἰκός καὶ τοιαῦτα **ἄμουσα καὶ κακόζηλα συγκαττύειν φρασείδια.**

ἐκδημίας ἀποσημαίνει, θαρσεῖν ἡμᾶς καὶ περὶ τῆς ὑμετέρας ἀναπείθει ὑγείας, ὡς θεόθεν πορισθησομένης ὑμῖν, ἣν εὐχόμεθα κεκτημένον σε μετὰ τῶν ἐκ τῆς πρεσβείας καλῶν ἀποδέξασθαι, τοῖς τε ἀπὸ τοῦ σεβαστοῦ βασιλέως ἡμῶν, τοῖς τε ἐκ παντὸς τοῦ ῥωμαϊκοῦ ἐπαίνοις ἐπιγανύμενον. Ἡ δὲ βίβλος ἐσχάτου λόγου, ἢ οὐδενός, παρ' ἡμῖν· ὅθεν δὴ καὶ ἡ ὑπὲρ αὐτῆς χαιρέτω ἀπολογία. Καὶ πᾶσι μὲν τοῖς κοινοῖς φίλοις καὶ ὁμοταγέσιν ἡμῖν, κατ' ἐξοχὴν δὲ τῷ κυρῷ Δημητρίῳ τὰς ἀφ' ὑμῶν προςρήσεις (1) πεποιήμεθα· οἳ δὴ καὶ ὑμᾶς τοῖς ὁμοίοις τιμῶσι τῆς φιλίας συμβόλοις. Ἐπεὶ δὲ φίλοι καὶ ἡμεῖς, καὶ ὑπὲρ φίλου καὶ συγγενοῦς ἥκομεν δεησόμενοι παρὰ φίλων (2), μὴ ἀναβάλλῃ πρὸς τὴν ἀξίωσιν. Κορωνίδα δεξιὰν ταῖς σαῖς ἀξιοῦμεν πράξεσιν ἐπιθεῖναι τὴν ὑπὲρ τοῦ κυροῦ Προκοπίου πρόνοιαν, ἣν ἐξάπαντος ἐπιδείξαις· εἴπερ, ὡς εἴ τις καὶ ἄλλος, οἶδας τιμᾶν ἀρετήν. Ἀλλ' εὐτυχοίης κατὰ πάντα, ὦ τῶν κατ' ἀρετὴν πατέρων ἐμοὶ τυγχάνων καὶ αἰδοῖος καὶ ποθεινότατος.

ΚΕ'.

Προκόπιος σπαθάριος καὶ τοῦ ἀσηκρῆτις (3) ἀνεψιὸς Λέοντι μαγίστρῳ. Ἀπὸ τῆς πόλεως εἰς τὸ Βαγδά.

Ἔμελλε πάντως μηδὲ τὴν ἕω τῶν σῶν θαυμάτων ὑπολειφθῆναι κενήν, ὦ σοφῶν ἀνδρῶν ἀκροθίνιον καὶ γέρας σοφίας αὐτῆς. Ἔμελλε ταῖς μηδὲν ἐν βίῳ προςποιουμέναις θαυμάζειν μεγαλοφροσύναις Ἀγαρηνῶν, σὲ μόνον ἀντὶ θάμβους ὀφθῆναι παντός, οὐ διὰ σοφίας μόνον ὑπερβολήν, καὶ νοῦ καὶ λόγου πυκνότητα, *νιφάδεσσιν ἐοικότων*, ὥς φησιν Ὅμηρος (4), ἃ δὴ πάλαι καὶ Σκυθῶν (5) διανοίας τρίτον ἐξέπληξεν, ἀλλὰ καὶ διὰ τὴν ταῖς ἁπάντων γλώσσαις περιλαλουμένην

(1) Τὸ χειρόγρ. : **Προῤῥήσεις.**

(2) Γρ. ἴσως : **φίλον.**

(3) Καὶ τοῦτο ἦν ἐκ τῶν τῆς βασιλείου αὐλῆς ἀπειροπληθῶν ἀξιωμάτων· ἔστι δὲ ἐκ τοῦ λατιν. a secretis. **Ἀσηκρῆτις** τοίνυν ἐλέγετο ὁ ἐξ ἀποῤῥήτων εἴτε μυστικὸς τοῦ βασιλέως σύμβουλος, ὁ καὶ ἁπλῶς **μυστικὸς** παρὰ τῶν Βυζαντινῶν **καλούμενος**. Προςέθηκα δὲ τὸ προδήλως ἐκρυὲν ἄρθρον.

(4) Ἰλ. Γ', 223.

(5) Δῆλον ὅτι τῶν Βουλγάρων.

μεγαλοφυΐαν καὶ φρόνησιν καὶ τὴν περὶ ταύτας οἰκονομίαν· δι᾽ ὧν ἀμφοτέροις τοῖς ἔθνεσιν ἄριστος μεσίτης γενόμενος, πλέον μὲν ἡμῖν, ἑκατέροις δ᾽ ὅμως τὸ προςῆκον ἀπένειμας, οὐ μόνον κῆρυξ ἐλευθερίας ὀφθεὶς, ἀλλὰ δὴ καὶ εἰς τέλος αὐτὴν ἀγαγὼν, καὶ πρὸ πάντων τοὺς τὴν ἐκκλησιαστικὴν εἰρήνην οἰκονομήσοντας ἀρχιερέας ἔρχῃ φέρων μετὰ σαυτοῦ (1). Οὐκοῦν εἰς δέον ὁ μέγας καὶ σοφὸς ἡμῶν βασιλεὺς τῶν σῶν ἐγκωμίων ἀσίγητα προβάλλει τὰ διηγήματα, καὶ τοσοῦτον ἐπὶ ταῖς σαῖς χαίρει καὶ καθωραΐζεται πράξεσιν, ὡς καὶ τραπέζῃ βασιλικῇ πρὸ παντὸς καὶ ἀντὶ παντὸς ἡδύσματος τὸ σὸν περιφέρειν μετὰ θαύματος ὄνομα. Ἐγὼ δὲ πρὸς τὰς τοιαύτας ἀκοὰς καίπερ ἐρωτικῶς [illegible]ακείμενος ἀθυμίᾳ τιτρώσκομαι τὴν ψυχὴν, ὅτι μὴ κἀμοὶ τῆς σῆς γ[illegible]κείας καὶ συνουσίας καὶ στοργῆς ἀπολαύειν νῦν ἐξεγένετο, οὐ πρὸς [illegible]μῆκος μαλακισθέντι τῆς τοσαύτης ὁδοῦ, εἰ καὶ νοσῶν προςπαθ[illegible]κις τὸ σῶμα κατετρίβην, ὡς οἶσθα καὐτὸς, ἀλλὰ διὰ τὴν ὕστερον [illegible]τοὶ παρειςπεσοῦσαν ἀσθένειαν τῆς ἕδρας, οὕτω διατρηθείσης, ὡς καὶ [illegible]αφίδας χαλκᾶς διὰ ταύτης περᾷν· ἐξ οὗ πολυχρονίους ὑποστάντες ὀδύνας, ὀψὲ καὶ μόλις οὐ πρὸ πολλοῦ, τῆς ὑγείας ἐτύχομεν, τῆς σῆς δηλαδὴ συνεργούσης εὐχῆς. Ὅμως, ἐπεί σε (2) Θεὸς τῇ θρεψαμένῃ πάλιν ἀποκαθίστησι, καλῶς τὰ ὑπὲρ αὐτῆς πρεσβευσάμενον, οἶδ᾽ ὡς οὐκ ἐάσεις ἀγεράστους ἡμᾶς, κἂν μηδέν τι γέρας συνειςενέγκαμεν ἄξιον, ἀλλ᾽ ἑτοίμην καὶ τὴν ἡμῶν κατέχεις τιμὴν ἐν χερσίν. Ἔχω γάρ σε μετὰ πάντων κἀν τούτῳ Χριστὸν ἐκμιμούμενον, ὅς προῖκα καὶ ἀμισθὶ τὴν τοῦ σύμπαντος οἰκτιρμῷ ταμιεύεται πρόνοιαν.

ΚϚ'.

Λέων μάγιστρος ἀνθύπατος καὶ πατρίκιος Στεφάνῳ μαγίστρῳ ἀνθυπάτῳ καὶ πατρικίῳ.

Δικαίως τὸ δίκαιον ἀεὶ διώκων (3), ἵν᾽ ἀπὸ τῆς Γραφῆς εἴπω πρὸς τρόφιμον ἄνδρα Γραφῆς, οἶδα, διώξεις τοῦτο καὶ ἐπ᾽ ἐμοὶ, κἂν

(1) Ἴδε ὄπισθεν σελ. 396 καὶ 406.
(2) Τὸ χειρόγρ. : Ἔπειτα.
(3) Παρὰ τό : **Δίωκε δὲ δικαιοσύνην** [Α' Τιμ. ϛ', 11].

καιροῦ φορὰν καὶ θυμὸν δεσπότου φιλοσόφως πραγματευόμενος ἤνεγκας τέως σιγήν. Ἀνάστηθι δή, ναὶ διανάστηθι· ἀνάστηθι, μὴ κραταιούσθωσαν ἄνθρωποι, οἳ κωμῳδίαις ψευδέσιν ὑπερόριον τὸ γῆρας ἡμῶν ἐποιήσαντο. Πιστεύω δὲ τῇ σῇ χρηστότητι καὶ οἰκονομικῇ μεσιτείᾳ, ὅτι ὥςπερ γνώμῃ τοῦ δικαίου καὶ σεβαστοῦ αὐτοκράτορος, ἔνδον μὲν ἡμᾶς εὐτυχίας, ἔξω δὲ δυςπραγίας ποιήσεις, οὕτω τοὺς ἡμῶν ἀδίκους ἐχθροὺς ἔξω μὲν συγκλητικῶν. ἔνδον δὲ ποινῶν σπουδάσεις ἐλθεῖν. Ἔρρωσο καὶ κρῖνον ἐπ' ἐμοὶ δικαίως, ὡς ἔκρινες ἐνδίκως σὺν ἐμοί, τοιοῦτον εἰδὼς εὑρέσθαι τὸν ἄνω κριτήν, οἷος ἂν αὐτὸς περὶ τοὺς κάτω κρινομένους γένοιο.

ΚΖ'.

Τοῦ αὐτοῦ. Πρὸς τὸν υἱὸν τοῦ πατρικίου Νικήτα τοῦ Μον.....

Τὸ διδάσκειν φρονίμους οὐ φρονίμων ἀνδρῶν ἐστιν. Εἰδότες οὖν σε φρονήσει τῶν πολλῶν ὑπερκείμενον, οὐ διδάσκειν δίκαιον κρίνομεν· τὸ δὲ καὶ πρὸς τὰ κινούμενα τῶν πραγμάτων παρὰ τῶν αὐτονόμων, μᾶλλον δὲ ἀνόμων, παλιμβόλων, καὶ διαβολὰς ζητούντων ματαίας, λογισμοὺς ζητεῖν διοικήσεως καὶ βοηθείας τῆς ὑπὲρ ἡμῶν, ὑπερορίῳ ὄντι μοι, καὶ μὴ τὰ πολλὰ τῶν κατ' ἐμοῦ τυρευομένων ἀκούοντι, πάντως ἄπορον. Ἔχεις αὐτόθι τοὺς ἐμοὺς λειτουργοὺς λέγοντάς σοι τὰ συμπίπτοντα. Λογίζου δὴ καὶ μελέτα κινῶν σου πρὸς ἐκεῖνα τὸν νοῦν, καὶ κατευθυνθήσεται τὰ ἡμέτερα, μάλιστα Λέοντι τῷ ῥαβδούχῳ, τῷ μαγίστρῳ καὶ λογοθέτῃ τοῦ δρόμου, φημὶ δὴ τῷ συγγάμβρῳ ἡμῶν, λέγων ἀντ' ἐμοῦ τὰ ὑπὲρ ἐμοῦ. Ἔρρωσο.

ΒΑΣΑΝΟΣ ΘΕΜΕΛΙΩΔΩΝ ΤΙΝΩΝ ΥΠΕΡ ΤΗΣ ΕΡΑΣΜΙΚΗΣ ΠΡΟΦΟΡΑΣ ΑΠΟΔΕΙΞΕΩΝ.

Fr. Blass Ueber die Aussprache des Griechischen. Zweite vollständig umgearbeitete Auflage. Berlin. Εἰς 8ον.

Μετὰ τὰ μέσα τοῦ παρελθόντος ἔτους 1882 ἐξεδόθη ἐν Βερολίνῳ ὑπὸ τοῦ Friedrich Blass πραγματεία ὑπὸ τὴν ἀνωτέρω ἐπιγραφήν, ἥτις, ὡς καὶ ἐξ αὐτῆς τῆς ἐπιγραφῆς γίνεται δῆλον, εἶνε δευτέρα ἔκδοσις τελειοτέρα καὶ πληρεστέρα ἑτέρας, ἐκδοθείσης κατὰ τὸ ἔτος 1870. Ἐν ἀμφοτέραις ταῖς πραγματείαις πρόθεσις τοῦ συγγραφέως εἶνε νὰ ἀποδείξῃ ὅτι ἡ προφορὰ τῶν νεωτέρων Ἑλλήνων οὕτω διαφέρει τῆς τῶν παλαιῶν, κατά τε τὰ στοιχεῖα καὶ τὰς συλλαβὰς ἐξαλλοιωθεῖσα καὶ διαφθαρεῖσα, ὥστε οὐδὲν ἕτερον ὑπολείπεται φάρμακον πρὸς θεραπείαν τῆς νόσου καὶ τὴν ὅσον οἷόν τε ἀποκατάστασιν τῆς παλαιᾶς ὑγιείας καὶ ὀρθοεπείας τῶν φθόγγων, ἢ τὸ ἀναγινώσκειν τοὺς Ἕλληνας συγγραφεῖς κατὰ τὴν δύναμιν, ἣν τὸ γράμμα ἔχει ἐν τῷ γερμανικῷ ἀλφαβήτῳ. Καὶ εἶνε μὲν ἀληθὲς ὅτι ἐν τῇ νεωτέρᾳ αὐτοῦ πραγματείᾳ ἐκόλασεν ὁπωσδήποτε ὁ ἀνὴρ τὸν μέγαν ἐκεῖνον ὑπὲρ τοῦ γράμματος ζῆλον, ὃν ἐνδείκνυται ἐν τῇ ἀρχαιοτέρᾳ (σελ. 39 καὶ 40), ἀλλ' ὅμως παρὰ πᾶσαν τὴν ἐν τῇ ψυχῇ αὐτοῦ γενομένην μεταβολήν, παρατηρεῖ τις καὶ πάλιν ὅτι ὁ συγγραφεὺς διαμένει ἁγνότατος Ἐρασμικός, πιστεύων ὅσα καὶ πρὸ τοῦ καὶ ἔτι πλέον. Διότι ἐν τῇ νεωτέρᾳ αὐτοῦ πραγματείᾳ μετὰ δωδεκαετεῖς ἐρεύνας ἐπληροφορήθη, ὅπερ ἠγνόει πρότερον (α' ἐκδ. σελ. 39), ὅτι καὶ οἱ ἀρχαῖοι Γραμματικοὶ εἶχον τὴν αὐτὴν προφοράν, ἣν καὶ αὐτὸς καὶ πάντες οἱ κατ' αὐτὸν ἀναγινώσκοντες τοὺς Ἕλληνας πεζολόγους καὶ ποιητάς· καὶ καυχᾶται μάλιστα ὅτι καὶ ἡ ἐπιστήμη ὁλόκληρος συντάσσεται μετὰ τῆς ἑαυτοῦ γνώμης, οὐδεμίαν καταλείπουσα ἀμφιβολίαν ὅτι, ἂν ἡ ἐρασμικὴ προφορὰ δὲν εἶνε ἀπαράλλακτος ἡ παλαιά, καὶ δὲν δύναται πανταχοῦ νὰ ἀποδίδῃ μετὰ τῆς τελειοτάτης ἀκριβείας τοὺς ἑλληνικοὺς φθόγγους, ὅμως τοσοῦτον πλησιάζει πρὸς αὐτήν, ὥστε μόνος ἀρχαῖος Ἕλλην ἀναστὰς ἐκ τοῦ τάφου θὰ ἠδύνατο νὰ ἐξελέγξῃ τὴν διδασκαλίαν τοῦ Ἐράσμου καὶ τῶν μαθητῶν αὐτοῦ. Ἐκθύμως δὲ ἀγωνιζόμενος ὑπὲρ τῶν ἰδίων ἀρχῶν καὶ δογμά-

των, οὐδαμῶς ὀκνεῖ νὰ ὀνομάσῃ τοὺς νεωτέρους Ἕλληνας ἀνθρώπους ἰσχυρογνώμονας καὶ ὑπὸ σφοδροῦ πάθους ἀδυνατοῦντας νὰ ἴδωσι τὸ φῶς τῆς ἐρασμικῆς ἀληθείας, ὅπερ κατὰ τὰς ἐσχάτας ταύτας ἡμέρας παρὰ πλεῖστα ἄλλα ἔθνη καὶ ἕτερον μέγα ἔθνος, τὸ ῥωσσικόν, ἠδυνήθη νὰ ἴδῃ καὶ ὠφεληθῇ ἐξ αὐτοῦ (ϐ'. ἐκδ. σελ. 5). Τοσοῦτον δὲ σκανδαλίζει αὐτὸν ὅτι καὶ Ἕλληνες ἐτόλμησαν νὰ γράψωσιν ὀλίγα τινὰ ὑπὲρ τῆς πατρίου φωνῆς, διὰ πολλῶν καὶ σαφῶν τεκμηρίων ἀποδεικνύοντες τὸ παλαιὸν αὐτῆς, ὥστε οὐκέτι ἀνασχετὸν νομίζων τὸ πρᾶγμα, διαρρήδην ἀπαγορεύει αὐτοῖς νὰ διαφέρωνται τοῦ λοιποῦ περὶ πράγματος ἀλλοτρίου καὶ οὐδὲν κοινὸν πρὸς αὐτοὺς ἔχοντος (ἐκδ. β'. πρόλογ.). Ἀλλὰ δυστυχῶς ἐν πᾶσι τούτοις ἀπηξίωσεν ὁ ἀνὴρ νὰ ποιήσῃ φανερὸν ἐν τίνι κεῖται ἡ ψεγομένη ἐμπάθεια καὶ ἰσχυρογνωμοσύνη τῶν νεωτέρων Ἑλλήνων, καὶ εἶνε δύσκολον νὰ γινώσκῃ τις ἀκριβῶς τί ἔχων ἐν τῷ νῷ ἔκρινε δίκαιον νὰ κατασκεδάσῃ ἡμῶν τὰς δεινὰς ταύτας κατηγορίας. Ὅσον ἡμεῖς γινώσκομεν, πάντες οἱ Ἕλληνες, ὅσοι μέχρι τοῦδε ἔγραψαν περὶ τῆς ἑλληνικῆς προφορᾶς, προθύμως ἠσπάσθησαν ὅ,τι εὗρον ὀρθὸν ἐν τῇ ἐρασμικῇ, καὶ πάντες, ὧν ὑπήρξαμεν καὶ ἡμεῖς, δὲν ἐδιστάσαμεν τὸ παντάπασι νὰ ὁμολογήσωμεν ὅτι ἡ νεωτέρα ἡμῶν γλῶσσα μετὰ τῆς διαστολῆς τῶν μακρῶν καὶ βραχέων συναπώλεσε καὶ τὴν ἀρχαίαν προφορὰν τοῦ η καὶ τοῦ υ καὶ τῆς ἰσοδυνάμου αὐτῷ διφθόγγου οι (1). Ἂν δὲν δυνάμεθα νὰ ὁμολογήσωμεν τὸ αὐτὸ καὶ περὶ τῆς προφορᾶς τῶν ἄλλων φωνηέντων καὶ τῶν διφθόγγων καὶ περὶ τῆς προφορᾶς τῶν συμφώνων, εἰς τοῦτο δὲν πταίομεν ἡμεῖς ἀλλ' οἱ ἀρχαῖοι Γραμματικοὶ καὶ οἱ νόμοι τῆς γλώσσης καὶ πᾶν τεκμήριον ὁρμώμενον ἐκ τῆς ἀρχαιότητος, πταίουσι δὲ καὶ αὐτοὶ οἱ Ἐρασμικοί, οἵτινες μέχρι τοῦδε οὐδὲ πρὸς ἀλλήλους κατώρθωσαν νὰ ὁμονοήσωσι περὶ σπουδαιοτάτων πραγμάτων ἀναφερομένων εἰς τὴν προφορὰν τῶν στοιχείων καὶ συλλαβῶν, ἀλλ' ἄλλος ἄλλα διδάσκει καὶ ἀποδέχεται, προσάγουσι δὲ ἕκαστος ὑπὲρ τῶν ἰδίων γνωμῶν ἀποδείξεις ἥκιστα πιθανὰς καὶ εὐπροσδέκτους. Πῶς δὲ εὑρίσκει ὀρθὸν ὁ Βλάσσιος νὰ ἀποδίδῃ ἡμῖν ὅ,τι ἀπέδωκεν, ἀφοῦ καὶ ἐξ αὐτῆς τῆς Γερμανίας ἄνδρες τὰ πρῶτα φερόμενοι ἐν τῇ

(1) Ἴδε τὴν 41 σελίδα τοῦ τρίτου τόμου τοῦ περιοδικοῦ Ἀθηναίου, μεταξὺ ἄλλων περιέχοντος καὶ ἡμετέραν πραγματείαν, ἐπιγραφομένην **Βάσανος τῶν ἐκ τῆς γραφῆς καὶ ἐτυμολογίας ἐρασμικῶν ἀποδείξεων.**

πολιτείᾳ τῶν ἑλληνικῶν γραμμάτων, οἷος ὁ Θείρσιος καὶ ὁ Κρυγῆρος καὶ ἄλλοι, μετὰ παρρησίας συνετάχθησαν καὶ συντάσσονται μετὰ τῶν ὑπερασπιζόντων τῆς προφορᾶς τῆς παραδόσεως; Εὐχερῶς καὶ ἑτοίμως ἀποκαλοῦσι τοὺς ἄλλους ἰσχυρογνώμονας καὶ τυφλώττοντας ὑπὸ πάθους οἱ ἄνευ ἐλέγχου κρίνοντες, ἢ ὅσοι ἐν ἑαυτοῖς ἐνορῶσι τοιαύτην φύσιν καὶ ἀποδίδουσιν εἰς τοὺς ἄλλους ὅ,τι ὀρθότερον ὤφειλον νὰ ἀποδίδωσιν εἰς ἑαυτούς. Ἔπειτα τίνι δικαίῳ ἀξιοῖ νὰ πιστεύωμεν εἰς τὴν ἀλήθειαν τῶν ἑαυτοῦ λόγων ὁ Βλάσσιος, ἀφοῦ βλέπομεν αὐτὸν φανερῶς παραπλανώμενον καὶ ἀπὸ ἀπατηλῆς θέσεως σκοποῦντα τὰ πράγματα; Ἢ μήπως νομίζει ὅτι οἱ νῦν Ἕλληνες οὕτω πολεμίως καὶ ἀδυσωπήτως ἔχομεν πρὸς τὴν ἱερὰν ἀλήθειαν, ὥστε ἕνεκα ψευδοῦς καὶ κακῶς ἐννοουμένης φιλοτιμίας ἰσχυρογνωμόνως καὶ αὐθαδῶς ἀπορρίπτομεν ὅ,τι πᾶς λογικὸς καὶ ἐχέφρων ὀφείλει ἐκ ψυχῆς νὰ ἀσπάζηται καὶ τιμᾷ; Ὅτι δὲ οἱ Ἐρασμικοί, οὐχὶ δὲ οἱ νεώτεροι Ἕλληνες διατελοῦσιν ἐν τῇ πλάνῃ ἀποδεικνύει καὶ ἐκεῖνο, ὅτι πλὴν τῶν ὑποχωρήσεων, ἃς προθύμως καὶ ἐξ ἀρχῆς ἐποιήσαντο οἱ Ἕλληνες, οὐδενὸς ἄλλου ἠναγκάσθησαν νὰ παραχωρήσωσι τοῖς Ἐρασμικοῖς, ἐνῷ οὗτοι καθ᾽ ἑκάστην ἡμέραν ἀναγκάζονται νὰ ὑποχωρῶσι καὶ ἀναβιβάζωσιν τὸ ἀρχαῖον τῆς καθ᾽ ἡμᾶς προφορᾶς εἰς ἀεὶ παλαιοτέρους χρόνους, καὶ τίς οἶδεν ἂν μέχρι τέλους δὲν ἀναγκασθῶσιν εἰς μείζονα καὶ τελείαν ὑποχώρησιν. Τοῦτο εὐχόμεθα ἀπὸ καρδίας ἐφ᾽ ὅσον θαρροῦμεν εἰς τὴν ἀλήθειαν τῆς παραδόσεως καὶ πιστεύομεν ὅτι ὑπὲρ τῆς ἀληθείας πᾶς τις ὀφείλει καὶ νὰ εὔχηται καὶ νὰ λέγῃ καὶ νὰ γράφῃ καὶ νὰ ἐργάζηται. Καὶ ἐχέτω ἡμῖν συγγνώμην ὁ Βλάσσιος ὅτι καὶ πάλιν μετὰ ἐννέα ἐνιαυτούς, ἐν ᾧ εὐχόμεθα ὑπὲρ τῆς ἐπιστροφῆς αὐτοῦ, ἐνθυμούμενοι τὸ ὁμηρικὸν «στρεπταὶ δὲ φρένες ἐσθλῶν», συγχρόνως ἐπιχειροῦμεν νὰ βασανίσωμεν τὴν δύναμιν τῶν νεωτέρων αὐτοῦ ἀποδείξεων ὑπὲρ τῆς ἐρασμικῆς προφορᾶς, καὶ ἐξετάσωμεν κατὰ πόσον ἔχει δίκαιον ἐπικαλούμενος τὰ ἐκ τῆς ἀρχαιότητος τεκμήρια. Μέλλοντες δὲ ἐν ἰδίᾳ πραγματείᾳ, ὀλίγῳ ὕστερον ἐκδοθησομένῃ, νὰ ἐξετάσωμεν καθ᾽ ἑκάστην ἁπάσας τὰς ἐρασμικὰς ἀποδείξεις οὐ μόνον τοῦ Βλασσίου, ἀλλὰ καὶ τοῦ Κουρτίου καὶ Κυνήρου καὶ Εἰριξένου καὶ παντὸς ἄλλου, ὅμοια τῷ Βλασσίῳ ἰσχυρισθέντος, ἐν τῷ παρόντι ἁπτόμεθα μόνον τινῶν κεφαλαιωδεστέρων ἀποδείξεων τοῦ ἀνδρός, οὗτινος ἄλλως καὶ τὴν ἑλληνικὴν παιδείαν ἐπι-

στάμεθα νὰ ἐκτιμῶμεν καὶ τὰς ποικίλας αὐτοῦ καὶ σπουδαίας ἐν τοῖς ἑλληνικοῖς γράμμασιν ἐργασίας. Ἀρχόμεθα δὲ πρῶτον ἀπὸ τῆς ἐξετάσεως τῆς ἰσχυρίσεως αὐτοῦ ὅτι οἱ παλαιοὶ Γραμματικοὶ καὶ Μουσικοί, καὶ δὴ ὁ Ἁλικαρνασσεὺς Διονύσιος καὶ Ἀριστείδης ὁ Κοϊντιλιανὸς προέφερον τὰς διφθόγγους κατὰ τὸν ἐρασμικὸν τρόπον καὶ πάντη διαφόρως πρὸς τὴν ὑπὸ Σέξτου τοῦ Ἐμπειρικοῦ παραδιδομένην εἴδησιν, ὅτι καὶ ἡ αι καὶ ἡ ει καὶ ἡ ου καὶ αἱ ἄλλαι δίφθογγοι τῆς ὁμοίας φύσεως ὑπό τινων φιλοσόφων, βεβαίως ἀρχαιοτέρων τοῦ Σέξτου καὶ πιθανῶς περὶ τὸν Στωϊκὸν Χρύσιππον, ἐκαλοῦντο στοιχεῖα, διότι κατὰ τὴν ὑπὸ τῶν Γραμματικῶν γενομένην ἐκφώνησιν αὐτῶν ἠκούετο ἀπ' ἀρχῆς μέχρι τέλους ὁ αὐτὸς ἦχος, ἁπλοῦς, μονοειδὴς καὶ ἀσύνθετος (1).

Πάνυ ἀδεξίως, νομίζομεν, καὶ ἀτόπως ἠθέλησεν ὁ Βλάσσιος (β' ἐκδ. σελ. 21) νὰ ἀντιτάξῃ πρὸς τὴν μαρτυρίαν ταύτην τοῦ Σέξτου τοὺς λόγους Ἀριστείδου τοῦ Κοϊντιλιανοῦ, ὅτι τῶν κατὰ συμπλοκὴν καλουμένων διφθόγγων ἤτοι, ὡς αὐτὸς λέγει, τῶν διὰ τοῦ υ συντεθειμένων, τῆς αυ δηλονότι καὶ ευ καὶ ηυ καὶ ωυ, ἠκούοντο φανερῶς ἀμφότερα τὰ φωνήεντα (2)· διότι ἀκριβῶς ἐκ τῶν λόγων τούτων συνάγεται τὸ ἐναντίον πρὸς τὸν ἰσχυρισμὸν τοῦ Βλασσίου, ὅτι δῆθεν ἄλλα μὲν διδάσκει ὁ Σέξτος ἄλλα δὲ ὁ Ἀριστείδης ὅτι ἐκεῖνος μὲν καλεῖ στοιχεῖα τὰς διφθόγγους αυ καὶ ευ καὶ ηυ καὶ ωυ, οὗτος δὲ σαφῶς ἀποκλείει αὐτὰς τοῦ ἀριθμοῦ τῶν στοιχείων, ἅτε φανερῶς ἐκβοώσας, ὡς αὐτολεξεὶ λέγει, ἀμφότερα τὰ φωνήεντα. Ὀλίγοι, νομίζομεν, δύνανται νὰ ἰσχυρισθῶσι τοιοῦτον ἰσχυρισμόν, ἀφοῦ ὁ Σέξτος διαρρήδην συγκαταλέγει μετὰ τῶν διφθόγγων αι, ει, ου οὐχὶ πάσας τὰς διφθόγγους ἀνεξαιρέτως, ὅπως ἄνευ τινὸς λόγου ἠθέλησε νὰ πιστεύσῃ ὁ Βλάσσιος ἀλλὰ μόνον τὰς τῆς ὁμοίας φύσεως, ἐκείνας δηλαδή, ὅσαι κατὰ τοὺς λόγους αὐτοῦ τοῦ Σέξτου ἔχουσι τὸ οὐσιῶδες

(1) Σέξτ. πρὸς Γραμματικοὺς ἔκδ. Βεκκήρου, σελ. 625,17—626,11. Λέγομεν δὲ κατὰ τὴν ὑπὸ τῶν Γραμματικῶν γενομένην ἐκφώνησιν, διότι ἐν τῷ χωρίῳ α εἰ δὲ τὸν τοῦ αι φθόγγου λέγοιεν (626,5) » ὑποκείμενον ἐξυπακούεται οἱ Γραμματικοί, ὅπως καὶ πανταχοῦ ἄλλοθι τοῦ πρὸς αὐτοὺς λόγου ἐπὶ τρίτου πληθυντικοῦ προσώπου, μὴ ἔχοντος ἕτερον ὡρισμένον ὑποκείμενον· οἷον ἐπὶ τῶν ὁμοίων λέγουσι, καλοῦσι (σελ. 621), διδάσκουσι, διηγοῦνται, παραδιδόασι, ἐξηγοῦνται, κρίνουσι, διορίζουσι (σελ. 619), λέγουσι, διορίζονται. εἰ λέγοιεν. (σ. 628) κτλ.

(2) Ἐν τῷ περὶ μουσικῆς ἔκδ. Meibomii σελ 46.

γνώρισμα τοῦ στοιχείου, ἤτοι τὸ ἀποδίδειν ἁπλοῦν ἦχον, τὸν αὐτὸν ἀπ' ἀρχῆς μέχρι τέλους διαμένοντα, οὐχὶ δὲ βεβαίως καὶ τὰς φανερῶς ἐκβοώσας ἀμφότερα τὰ φωνήεντα, ἐπειδὴ τοιαύτη συγκατάταξις θὰ ἐξήλεγχεν αὐτὸν ἀλογώτατον καὶ μωρότατον, σκοπὸς δὲ τοῦ Σέξτου, γράφοντος πρὸς τοὺς Γραμματικούς, ἦτο οὐχὶ νὰ ἐξελέγξῃ ἑαυτόν, ἀλλὰ τοὺς Γραμματικούς, καὶ τὴν διδασκαλίαν ἐκείνων. Ἤθελε δὲ ἀναμφιβόλως πολὺ φυλαχθῇ ὁ Βλάσσιος νὰ ἀντιτάξῃ πρὸς τὸν Σέξτον τὸν Ἀριστείδην, ἂν ἤθελε λάβῃ τὸν κόπον νὰ συλλογισθῇ ὀλίγον ὅτι καὶ ἐξ αὐτῶν τῶν λόγων τοῦ Ἀριστείδου καταφαίνεται σαφέστατα ὅτι αἱ μὴ κατὰ συμπλοκὴν δίφθογγοι δὲν ἐξεβόων φανερῶς ἀμφότερα τὰ φωνήεντα, ἀλλ' ἢ τὸ ἓν μόνον, ὡς αἱ κατ' ἐπικράτειαν, ἤτοι αἱ δίφθογγοι ᾳ, ῃ, ῳ, ει, υι, ἢ ἀμφότερα μέν, ὡς αἱ κατὰ κρᾶσιν, ἤτοι ἡ ου καὶ αι καὶ οι, οὐχὶ δὲ φανερῶς, ἀλλ' ἀφανῶς καὶ ὑπὸ ἕτερον, τρίτον ἦχον, λανθάνοντα, ὅπερ οὐδαμῶς ἀντιμάχεται πρὸς τὴν μαρτυρίαν τοῦ Σέξτου.

Φέρε δὲ νῦν ἐξετάσωμεν ἂν ἔχει περισσότερον δίκαιον ὁ Βλάσσιος ὅταν ἐν τῇ 56 σελίδι τῆς αὐτοῦ πραγματείας προσάγῃ ὡς ἀναμφισβήτητον καὶ σαφέστατον τεκμήριον τοῦ ὀρθοῦ τῆς κατ' Ἔρασμον προφορᾶς τόδε τὸ χωρίον Διονυσίου τοῦ Ἁλικαρνασσέως, ἐν ᾧ ἐξετάζων ὁ κριτικὸς οὗτος τὰς πρώτας λέξεις τοῦ προοιμίου τοῦ Θουκυδίδου «τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων», λέγει ὅτι «ἡ τῶν φωνηέντων παράθεσις ἐν τῷ καὶ Ἀθηναίων διακεκρότηκε τὸ συνεχὲς τῆς ἁρμονίας καὶ διέστακε, πάνυ αἰσθητῶς τὸν μεταξὺ λαβοῦσα χρόνον· ἀκέραστοί τε γὰρ αἱ φωναὶ τοῦ ι καὶ τοῦ α καὶ ἀποκόπτουσι τοὺς ἤχους.» (1).

Κατὰ τὴν γνώμην ἡμῶν εἶνε πολὺ κατεσπευσμένον τὸ ἐκ τῶν λόγων τούτων συμπέρασμα τοῦ Βλασσίου καὶ ἄλλων Ἐρασμικῶν, ὅτι τὸ ι τῆς αι ἐν τῷ καὶ προεφέρετο ἀκέραστον τοῦ ἡγουμένου α ὑπὸ Διονυσίου τοῦ Ἁλικαρνασσέως. Καὶ ἐνταῦθα ἐλησμόνησαν οὗτοι ὅτι ἐκ μιᾶς προκειμένης οὐδὲν ἐξάγεται συμπέρασμα. Ὁ αὐτὸς Διονύσιος ἐν τῷ αὐτῷ κεφαλαίῳ (σελ. 184 τελ. Schaeff. 312) λέγει ὁμοίως «οὐ συναλείφεται οὐδὲ ταῦτα ἀλλήλοις (τὸ ι καὶ ε) οὐδὲ προτάσσεται κατὰ μίαν συλλαβὴν τὸ ι τοῦ ε». Ἀλλ', ἐρωτῶμεν, ἐκ μόνου

(1) Ἐν τῷ περὶ συνθ. ὀνομάτ. κεφ. κβ'. σελ. 196. κατὰ δὲ τὴν ἔκδοσιν τοῦ Schaeffer σελ. 330.

τοῦ χωρίου τούτου δύναταί τις νὰ συμπεράνῃ ὅτι ὁ Ἁλικαρνασσεὺς κριτικὸς ἐδίδασκεν ἐναντίον τοῦ Ἀριστάρχου καὶ τῶν μαθητῶν αὐτοῦ ὅτι καὶ τὸ ε καὶ τὸ ι καὶ δὴ καὶ τὸ α καὶ τὸ ι καὶ τὸ ο καὶ τὸ ι δὲν ἦσαν συναληλιμμένα εἰς μίαν συλλαβήν; Ἀλλ᾽ αὐτὸς ἐξετάζων τοὺς στίχους τῆς Ὀδυσσείας «Καὶ μὴν Σίσυφον εἰσεῖδον κρατέρ᾽ ἄλγε᾽ ἔχοντα . . . αὖθις ἔπειτα πέδονδε κυλίνδετο λᾶας ἀναιδής» (κεφ. κ′ σελ. 268 καὶ ἑξῆς Schaeff. 282), οὐ μόνον λέγει ὅτι αἱ δίφθογγοι ἀποτελοῦσιν ἁπλᾶς συλλαβάς, ἀλλὰ προσεπιφέρει καὶ ταῦτα «ἑπτακαίδεκα συλλαβῶν οὐσῶν ἐν τῷ στίχῳ, δέκα μέν εἰσι βραχεῖαι συλλαβαί, ἑπτὰ δὲ μόνον μακραὶ καὶ οὐδ᾽ αὗται τέλειοι». Ἐν ἄλλαις δηλαδὴ λέξεσι λέγει ὅτι τὸ α καὶ τὸ ι καὶ τὸ ε καὶ τὸ ι εἶναι συναληλιμμένα, ἢ καθ᾽ ἑτέραν αὐτοῦ ἔκφρασιν συναλοιφῇ κεκραμένα (κϐ′ σελ. 184 ἀρχ. Schaeff. 310) εἰς μίαν συλλαβήν, καὶ οὐχὶ ταύτην τελείως μακράν, ἀλλ᾽ ἄλογον, ὁμοίαν τῷ ο καὶ τῷ ι ἐν τῷ πέδονδε καὶ κυλίνδετο. Ὅπως ὀρθῶς νοήσῃ τις πάντα ταῦτα τὰ χωρία τοῦ Ἁλικαρνασσέως Διονυσίου καὶ τὴν φράσιν «οὐ συναλείφεται οὐδὲ προτάσσεται κατὰ μίαν συλλαβὴν τὸ ι τοῦ ε», ἀνάγκη νὰ ἔχῃ πρὸ ὀφθαλμῶν τὴν ἀπὸ Διονυσίου τοῦ Θρᾳκὸς ὑπὸ τῶν Γραμματικῶν γινομένην διαίρεσιν τῶν φωνηέντων εἰς προτακτικὰ καὶ ὑποτακτικά. Κατὰ Διονύσιον τὸν Θρᾷκα προτακτικὰ μὲν φωνήεντα πέντε α, ε, η, ο, ω· προτακτικὰ δὲ λέγεται ὅτι προτασσόμενα τοῦ ι καὶ υ συλλαβὴν ἀποτελεῖ, αι, αυ. Ὑποτακτικὰ δὲ δύο, ι καὶ υ (1). Εἰπὼν ἄρα ὁ Ἁλικαρνασσοῦ κριτικὸς «ἀκέραστοι γὰρ αἱ φωναὶ τοῦ ι καὶ τοῦ ε καὶ ἀποκύπτουσι τοὺς ἤχους,» οὐδὲν ἄλλο ἐποίησεν ἢ ὑπέμνησε τὸν ἀναγνώστην πράγματος γνωστοτάτου μὲν αὐτῷ ἤδη ἀπὸ τῆς γραμματικῆς, ἀναγκαιοτάτου δὲ εἰς ὅ,τι ζητεῖ νὰ ἀποδείξῃ, ὅτι ὁ χαρακτὴρ τῆς αὐστηρᾶς ἁρμονίας, ὃν ἐζήλωσεν ὁ Θουκυδίδης, «ἐρείδεσθαι βούλεται τὰ ὀνόματα ἀσφαλῶς καὶ στάσεις λαμβάνειν ἰσχυράς, ὥστε ἐκ περιφανείας ἕκαστον ὄνομα ὁρᾶσθαι, ἀπέχειν τε ἀπ᾽ ἀλλήλων τὰ μόρια διαστάσεις ἀξιολόγους αἰσθητοῖς χρόνοις διειργόμενα» (κϐ′ ἐν ἀρχῇ, σελ. 176. Schaeff. 294). Ἂν δὲ ὁ Διονύσιος ἔλεγεν ὅπως θὰ ἐπεθύμουν οἱ Ἐρασμικοί, «ἀκέραστοι γὰρ αἱ φωναὶ τῆς διφθόγγου αι καὶ τοῦ α,» θὰ ἦτο ἠναγκασμένος νὰ διαλευκάνῃ τὸν λόγον τούτου, καὶ διαλευκαίνων νὰ προχωρήσῃ εἰς τὴν τελευταίαν

(1) Bekker Anecd. Graec. σελ. 631 6.

ἀνάλυσιν καὶ τέλος νὰ εἴπῃ, ὅπερ εἶπεν, «ἀκέραστοι γὰρ αἱ φωναὶ τοῦ ι καὶ α». Ἀλλ' ἦτο πάντῃ περιττὸν νὰ ποιήσῃ τοῦτο ἐν τῷ παρόντι χωρίῳ καὶ ὑπομνήσῃ τὸν ἀναγνώστην πράγματος, ὅπερ ἐξ ἀρχῆς προλαβὼν εἶπεν, ὅτι κατὰ τὴν ἑαυτοῦ θεωρίαν τὰ γράμματα εἴτε ἀλλήλοις κεράννυνται, ὡς τὰ φωνήεντα εἴτε συμπλέκονται καὶ παρατίθενται, ὡς τὰ σύμφωνα, ἀποτελοῦσι πάντοτε συλλαβάς, αἵτινες σώζουσιν ἅμα την τε ἰδίαν ἑκάστου γράμματος δύναμιν καὶ τὴν κοινὴν ἁπάντων, ἥτις γίνεται διὰ τῆς κράσεώς τε καὶ τῆς παραθέσεως αὐτῶν. «Τῶν γραμμάτων, λέγει, πολλὴν ἐχόντων διαφορὰν οὐ μόνον παρὰ τὰ μήκη καὶ τὰς βραχύτητας, ἀλλὰ καὶ παρὰ τοὺς ἤχους, πᾶσα ἀνάγκη τὰς ἐκ τούτων συνισταμένας συλλαβάς, ἢ διὰ τούτων πλεκομένας, ἅμα τήν τε ἰδίαν ἑκάστου σώζειν δύναμιν καὶ τὴν κοινὴν ἁπάντων, ἣ γίνεται διὰ τῆς κράσεώς τε καὶ τῆς παραθέσεως αὐτῶν» (ιε' σελ. 108, Schaeff. 184). Διὰ τούτων τί ἄλλο διδάσκει ὁ Διονύσιος ἢ ὅτι τὸ ι καίτοι κεκραμένον τῷ α ἐν τῷ καί, ὅμως σώζει τὴν ἰδίαν δύναμιν καὶ φέρει τὸ αὐτὸ ἀποτέλεσμα τῆς ἀποκοπῆς τῶν ἤχων, ὅπερ καὶ ἂν ὑπῆρχε καθ' ἑαυτό, καὶ διαλελυμένον ἀπὸ τοῦ α (1), φανερῶς δὲ ἐξελέγχει καὶ τὸν Βλάσσιον πλανώμενον καὶ ἀμελήσαντα νὰ ἐξετάσῃ προσηκόντως τὴν περὶ τῆς δυνάμεως τῶν φθόγγων ἀναλυτικὴν αὐτοῦ θεωρίαν (2); Ἀλλ' οὐδὲ θὰ ἦτο μέμψεως ἄξιος ὁ Διονύσιος, ἂν πρὸς συγχρόνους γράφων καὶ γνώριμον αὐτοῖς ἀναφέρων πρᾶγμα, δέν ἤθελε νομίσῃ ἀναγκαῖον νὰ προδηλώσῃ τοῖς ἀναγνώσταις ὅτι ἐκ τῆς ἀναλυτικῆς αὐτοῦ θεωρίας δὲν ἔπρεπε νὰ ὑπολάβωσιν ὅτι αὐτὸς ἐξεφώνει τοὺς ἑλληνικοὺς φθόγγους διαφόρως τῶν πρὸ αὐτοῦ καὶ ἐπ' αὐτοῦ, διότι, καὶ ἂν δὲν ἔλεγεν αὐτό, πᾶς τις θὰ ἐγίνωσεν ὅτι ὁ Διονύσιος δὲν ἐδιδάχθη βεβαίως

(1) Τῆς λέξεως διαλύειν ποιεῖται χρῆσιν αὐτὸς ὁ Ἁλικαρνασσεύς, ὅταν λέγῃ· «στοιχεῖα δὲ (καλοῦμεν), ὅτι πᾶσα φωνὴ τὴν γένεσιν ἐκ τούτων λαμβάνει πρῶτον καὶ τὴν διάλυσιν εἰς ταῦτα ποιεῖται τελευταίαν» ιδ' ἀρχ. σελ. 90 Schaeff. 154.

(2) Ὁ Βλάσσιος δηλαδὴ ἐλησμόνησε νὰ παρατηρήσῃ ὅτι ὁ Ἁλικαρνασσεὺς Διονύσιος ἐν τῇ ἐξετάσει τῆς δυνάμεως τῶν φθόγγων προεχώρει μέχρι καὶ τῆς τελευταίας ἀναλύσεως τῶν στοιχείων ἐξ ὧν ἀποτελοῦνται οἱ διάφοροι ἦχοι καὶ ὅτι ἡ τοιαύτη ἀναλυτικὴ ἐξέτασις ὀλίγον χρησιμεύει ἡμῖν ἐν ζητήματι ἐν ᾧ πρόκειται νὰ εὑρεθῇ οὐχὶ τίς ἦτο ἡ προφορὰ τῶν στοιχείων καθ' ἑαυτὰ λαμβανομένων, ἀλλὰ τίς ἡ προφορὰ τῶν ἐκ δύο στοιχείων κεκραμμένων συλλαβῶν. Τὴν τοιαύτην προφορὰν δυνάμεθα νὰ διδαχθῶμεν ἐξ ἑτέρων λόγων τοῦ Διονυσίου καὶ ἐκ τῆς ἀμέσου ἢ διαμέσου μαρτυρίας τῶν ἀρχαίων Γραμματικῶν.

ἑτέραν προφορὰν τῆς κοινῇ παραδεδομένης ἐκ τῆς ἀρχαιότητος καὶ ἐν ταῖς σχολαῖς τῶν Γραμματικῶν διδασκομένης (1). Οὐδὲ ἡμῖν δὲ σήμερον ἐπιτρέπεται τοιοῦτον δόξασμα, ἀφοῦ ἐξ αὐτῶν τῶν λόγων τοῦ Διονυσίου συνάγεται, ὡς εἴδομεν, ὅτι τὸ ι συναλείφεται, ἤτοι συναλοιφῇ κεράννυται μετὰ τοῦ ἡγουμένου α καὶ ε καὶ ο εἰς μίαν συλλαβὴν ἐν ταῖς διφθόγγοις αι καὶ ει καὶ οι, αἱ δὲ λέξεις συναλοιφὴ καὶ κρᾶσις εἶνε ὅλως ἀδιάλλακτος (2) πρὸς τὴν ἐρασμικὴν προφοράν· τοσούτῳ δὲ μᾶλλον ἀδιάλλακτοι ὅσῳ οἱ λόγοι τοῦ Ἁλικαρνασσέως κριτικοῦ οὐδαμῶς διαφωνοῦσι πρὸς τοὺς λόγους τοῦ Πλουτάρχου ὅτι τὸ ι, ἑπόμενον τῷ α, δὲν ἀποπηδᾷ ἀπ' αὐτοῦ, ὡς τὸ α, ὁπόταν τοῦτο ἀκολουθῇ τῷ ι, ἀλλ' ὁμοπαθεῖ καὶ συναποτελεῖ μετ' αὐτοῦ μίαν φωνὴν καὶ μίαν συλλαβήν, ἤτοι κατὰ τὴν ἑτέραν ἔκφρασιν τοῦ Σέξτου ἕνα ἦχον ἁπλοῦν καὶ ἀσύνθετον τὸν αὐτὸν ἀπ' ἀρχῆς μέχρι τέλους διαμένοντα (3). Οὐδένα δὲ λόγον ἔχομεν νὰ ἀμφιβάλλωμεν ἐκ τῶν εἰρημένων ὅτι καὶ ὁ Σέξτος δὲν θὰ ἔλεγε τὰ αὐτὰ τῷ Διονυσίῳ, ἂν ἐκ τῆς αὐτῆς ὄψεως ἐκείνῳ, ἐξήταζε τὴν δύναμιν τῶν στοιχείων καὶ τῶν συλλαβῶν, τὰ αὐτὰ δὲ καὶ τῷ Πλουτάρχῳ ἂν ἐξήταζε τί τῶν διχρόνων κατέχει τὴν ἡγεμονικωτάτην τάξιν. Οὐδεμίαν δὲ ὡσαύτως ἔχομεν ἀμφιβολίαν ὅτι τἀνάπαλιν δὲν θὰ ἔλεγε τὰ αὐτὰ τῷ Σέξτῳ καὶ ὁ Διονύσιος καὶ ὁ Πλούταρχος, ἂν καὶ οὗτοι ὅπως ἐκεῖνοι καὶ

(1) Ἐκ τοῦ χωρίου μάλιστα « Τὰ γράμματα ὅταν παιδευώμεθα » κτλ. (κε'. σελ. 246 Schaeff. 412 τελευταῖος στίχος), οὐχὶ μόνον συμπεραίνεται ὅτι οὐδεμία διαφωνία ὑπῆρχε μεταξὺ τῶν τότε Ἑλλήνων περὶ προφορᾶς, ἀλλὰ καὶ ὅτι οὐδὲ τὰ ἀρχαῖα βιβλία ἀνεγίνωσκον διαφόρως ἢ τὰ νεώτερα.

(2) Ἂν αἱ δίφθογγοι ἐξεφωνοῦντο κατὰ τὸν ἐρασμικὸν τρόπον, ἔπρεπε νὰ καλῶνται προϊόντα συμπλοκῆς ἢ παραθέσεως, οὐχὶ δὲ κράσεως καὶ συναλοιφῆς, κατηγορουμένων κυρίως κατὰ ῥευστῶν καὶ χρωμάτων συμμεμιγμένων εἰς ἕν, καὶ ὑπὸ τοῦτο λανθανόντων. Ἐκ τοῦ ὅτι δὲ οἱ παλαιοὶ Γραμματικοὶ μεταχειρίζονται τὴν λέξιν συμπλοκὴν μόνον ἐπὶ τῶν συμφώνων καὶ τῶν διφθόγγων αυ ευ ηυ ωυ συνάγεται πρὸς τούτοις ὅτι τὸ υ τῶν εἰρημένων διφθόγγων εἶχε συμφωνικὴν δύναμιν, διότι μόνον διὰ τερατείας καὶ γοητείας θὰ ἠδύνατο τὸ υ συμπλεκόμενον μετὰ τοῦ α ἢ ε νὰ μεταμορφωθῇ αἴφνης εἰς ου ὅπως διδάσκουσιν οἱ Ἐρασμικοί.

(3) Πλουτάρχ. Συμποσιακ. Βιβλ. Θ' προβλ. 1 σελ. 737. Ἡ διαφορὰ μεταξὺ τῆς ἐκφράσεως τοῦ Πλουτάρχου καὶ τῆς τοῦ Σέξτου εἶνε φαινομένη μόνον, ἔχουσα τὸν λόγον ἐν τούτῳ, ὅτι ἐν τῷ συμποσιακῷ προβλήματι τοῦ Πλουτάρχου γίνεται χρῆσις προσωποποιίας, ἐπειδὴ ἐν αὐτῷ πρόκειται νὰ ὁρισθῇ τί τῶν διχρόνων κατέχει τὴν ἡγεμονικωτάτην τάξιν. Αἰρομένης δὲ τῆς προσωποιίας ὑπολείπεται ὅτι τὸ α μετὰ τοῦ ι ὁμοπαθοῦσι καὶ συναποτελοῦσι μίαν φωνὴν καὶ μίαν συλλαβήν, ὅπερ, ὡς λέγομεν, οὐδαμῶς μάχεται πρὸς τοὺς λόγους τοῦ Σέξτου.

ἄλλοι ἀρχαῖοι φιλόσοφοι, ἤθελον νὰ προσθέσωσιν εἰς τὸν ἀριθμὸν τῶν στοιχείων καὶ τὰς διφθόγγους, εἰς τὸ μονόφωνον καὶ στοιχειῶδες αὐτῶν ἀποβλέποντες. Εἴδομεν δὲ ὅτι καὶ ἐκ τῆς ῥήσεως τοῦ μουσικοῦ Ἀριστείδου τοῦ Κοϊντιλιανοῦ, συγχρόνου τῷ Πλουτάρχῳ, συμπεραίνεται τὸ αὐτὸ ὅπερ καὶ ἐκ τῶν λόγων τῶν τριῶν εἰρημένων ἀνδρῶν, συμπεραίνεται δὲ καὶ ἐκ τῶν πολυαρίθμων κανόνων, οὓς ἤρξαντο νὰ γράφωσιν οἱ παλαιοὶ Γραμματικοὶ ἤδη ἀπὸ χρόνων πολὺ ἀρχαιοτέρων τοῦ Ἡρωδιανοῦ (1), ὁρίζοντες τίνες τῶν λέξεων διφθογγογραφοῦνται καὶ τίνες ψιλογραφοῦνται, τίνες δηλονότι γράφονται διὰ τῶν διφθόγγων αι, ει, οι καὶ τίνες διὰ τῶν ψιλῶν φωνηέντων ε, ι, υ.

